ὅτε παρ' Ἀλφεῷ σύτο δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,

Ἐπ. α'.

Συρακόσιον ἱπποχάρμαν βασιλῆα· λάμπει δέ οἱ κλέος
ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ·
τοῦ μεγασθενὴς ἐράσσατο. Γαιάοχος
Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθώ,
ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον.
ἦ θαυματὰ πολλὰ καί πού τι καὶ βροτῶν
φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι.

V. 22. Hermann interpunctionem post *δεσπόταν* sustulit, non recte. — V. 23. schol. memorat lect. *Συρακουσίων ἱπποχαρμᾶν*, et M2 Pc *συρακοσίων ἱππιοχάρμᾶν*, W1 *Συρακουσίων ἱππιοχάρμαν*, unde olim *Συρακόσιον ἱπποχαρμᾶν* scripsi, Kayser ipsam illam lec. tuetur, ceteris epodis mutatis.— V. 24. *ἐν* W1Vb, om. PcP1M2Va1 schol., vulgo *παρ'*. Gramm. Harlej. post Hephaest. p. 330 (ed. 2 Gaisf.) *ἀν'*.— ib. schol. *εὐάνορος* (et sic M2P1 supra) et *ἐποικίᾳ*, hoc requirit Hecker.—V. 28. *θαυματὰ* G in m. W1 corr. schol. et agnoscit Eustath. Il. 400. 30. Od. 1796. 2. Io. Diac. ad Hes. Scut. 154. *θαύματα* P1 G in m. Ve, *θαῦμα τὰ* M12 ceteri. — *φάτις* APcP1W1M2Vab Gramm. Harlei. 333 schol., qui addit *ἔνιοι δὲ φάτιν ἀντὶ τοῦ φρένας τῶν ἀνθρώπων ἀπατῶσιν οἱ ψευδεῖς λόγοι*, unde *φρένας* GVa2 ceteri interpolati. Igitur sola lectio *φάτις* fidem habet, quae lectio cum non iniuria displiceret veteribus criticis, *φάτιν* substituerunt, quod cum more suo libere interpretati essent *τὰς φρένας*, hoc usi sunt Byzantini, ut *φρένας* audacter substituerent; hoc invento rursus nixus Hartung *βροτῶν φρασὶν* correxit. Friederichs *φάτιν* probat, Mommsen *φάτις*, non ut vulgo nominativum singularis n., sed accusativum pluralis (*φάτιας*) interpretatus; at non ostendit exemplis aut grammaticorum auctoritate has formas unquam correptas esse: (nam nihil moror epigramma Parmenionis Anth. Pal. IX 113, ubi et *οἱ κόρις* et *τοὺς κόρις* dactyli vice fungitur, ubi Jacobs similia ex Manethone, Orac. Sibyll., Gregor. Nazianz. attulit: at neque Theocritus *ὄϊς* neque Nicander *ἔχις* cum corripiunt a lege recedunt, nam sunt nominativi singularis numeri.) itaque iam hoc nomine repudianda est illa interpretatio: omnino autem nec Mommseni nec Friederichsii ratio, qui accusativum desiderant, ferri potest: neque enim figmenta suavia hominum famam decipiunt, sed ipsos homines vel hominum mentes. Neque tamen vitii immunis est antiqua lectio: nam quod post *φάτις* infertur *μῦθοι* plane otiosum et languidum est, sufficiebat omni ex parte: *καί πού τι καὶ βροτῶν φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον δεδαιδαλμένα ψεύδεσι ποικίλοις ἐξαπατᾷ*, poeta si quid voluisset addere, debebat eos, qui decipiantur, plane dicere. Hic quoque antiquae scripturae ignorantia offecit: scribendum enim: *καί πού τι καὶ βροτῶν λόγον ὕπερ τὸν ἀλαθῆ φάτις δεδαιδαλμένῳ ψεύδεσι ποικίλοις ἐξαπατῶντι μύθῳ*. h. e. saepe etiam hominum fama (sive *fabulae*) sermone speciosis mendaciis supra veritatem exornato fallit: poetas enim culpat, qui antiquam famam non ut populi ore fertur memoriae produnt, sed suopte ingenio figmentis exornant et amplificant. Librarii antiqui, cum dativum *δεδαιδαλμένῳ μύθῳ* exhibere debuissent, retinuerunt antiquam scripturam, quoniam iis *φάτις* videbatur singulari-

Στρ. β'.

χάρις δ', ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμὰν καὶ ἄπιστον ἐμήσατο πιστόν
ἔμμεναι τοπολλάκις·
ἁμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά· μείων
γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων φθέγξομαι,
ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι

Ἀντ. β'.

δαμέντα φρένας ἱμέρῳ, χρυσέαισιν ἀν' ἵπποις
ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι·
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ ματρὶ πολλὰ μαιόμενοι φῶτες
ἄγαγον,
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
ὕδατος ὅτι σε πυρὶ ζέοισαν ἀμφ' ἀκμάν

tor dictum osse; at est pluralis: contractionem nominativi improbare videtur G. Curtius in Kuhnii diario I 258, at testantur veteres grammatici, velut Apoll. de pron. 380 B, schol. Il. VI 10. Gregor. Cor. 475, neque recte agunt, qui exempla huius contractionis Herodoto abiudicant. Deinde autem ut solet corruptio latius serpere, ut hyperbaton removerent verba traiecerunt in hunc modum βροτῶν φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον. — ἀλαθῆ Boeckh, v. ἀληθῆ. — V. 34. σοφώτατοι, Hecker σαφέστατοι. — V. 37. τὸν εὐνομώτατον ἐς ARLabP1GuVbdfgBcadMaW12Aab, et praeterea PcLVc nisi quod εἰς, GVa1 om. ἐς, contra ἐς εὐνομώτατον ἔρανον (ἔραννον) G in m. ceteri. Hermann ἐς εὐνομώτατον ἔρανον ἐς vel τὸν ἔρανον. Possis τὸν εὐνομώτατον ἔρανον ἐς φίλαν τε. Hartung ἐπ' εὐνομώτατον ἔρανον ἐς φ. Respicit huc Aristid. XV. T. I 372 ed. Dind. οὕτω δ' ἦν ἐξ ἀρχῆς θεοφιλής, ὥστε λέγουσιν οἱ ποιηταὶ τοὺς θεοὺς ἅμα τοῖς ἥρωσιν ἐρανίζειν εἰς αὐτὴν ἀναμὶξ εὐωχουμένους. — V. 41. χρυσέαισιν ἀν' ἵπποις affert Schol. Il. Ξ, 351. Ceterum PcM2 χρυσέαισι κἀν ἵπποις, E. Schmid χρυσέαισί τ' ἀν' ἵπποις, Hartung χρυσέαισιν ἀν' ἵπποις θ', mihi vero pro μεταβᾶσαι potius μεταβάσαντ' vel etiam μεταβάσαις videtur scribendum osse, ut poeta anacoluthia usus nominandi casum post accusativum intulerit. — V. 43. δευτέρῳ, Hecker δεύτερος. — V. 47. κρυφᾷ, legebatur κρυφᾷ. — V. 48. σε scripsi, v. τε. cf. Aristid. I 442: οἶσθ' ὅτι φασὶν οἱ ποιηταὶ τὸν Πέλοπα κατὰ μέλη τμηθέντα ἑψηθέντα ἐν λέβητι συντεθῆναι πάλιν ἐξ ἀρχῆς. contra Hermann v. 49 τάμον κάτα μέλη. Emendationem meam recepit Hartung, frustra

μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

'Επ. β'.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν· ἀφί-
σταμαι·
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους.
εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ ὕπερ
κρέμασε καρτερὸν αὐτῷ λίθον,
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.

Στρ. γ'.

ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
ἔθεσαν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν ἔρδων,
ἁμαρτάνει.

impugnat Friederichs. — *πυρὶ ζέοισαν*, glossae cod. Vrat. *περιζέοισαν* videntur prodere, sed *πυρὶ* tuetur lemma sch. Vrat. — *ἀμφ', ἐπ'* schol. APcGP1W1Vbdfg M2, hinc Mommsen *εἰς* coniecit, sed praepositio *ἐπὶ* in Pindari libris haud raro in locum praep. *ἀμφὶ* substituta. Fortasse gravius vitium delitescit, quamquam *εἰς* per se commodum est, vid. Keil Anal. Epigr. 30. — V. 50. *τ'*, Athen. XIV 641 C *δ'*, om. M2. — *δεύτατα* schol. APbcBcγGMaW12 Veneti sex, *ἀμφιδεύτατα* RMbBaβd, *ἀμφιδεύτα* Va1, *ἀμφιδεύματα* P1, *ἀμφὶ δεύματα* Vg probante Boeckhio. Athenaei codd. ABP *δευρα* i. e. *δεύτερα*, sed VL *δεύτατα*. Hartung *ἀμφὶ δαιτρὰ* scripsit. — V. 52. *ἄπορα*, *ἄπορον* APacGGnVbdfgW1M2P1Aa et Athen. (sed ibi BP *ἄπορον α*). — V. 53. *κακαγόρους* PaP1Vf. *κακαγόρος* APbW1 Schol., quod cum ex antiqua scriptura forte esset servatum (et servandum censet Boeckh, cf. Schol. Theocr. V 84), ortus inde error Pc *ἀκέρδειαν λ. θ. κακάγορος*. Contra MaBGβγ *κακαγόρως*, alii *κακηγόρως*, *κακηγόρους*. — V. 57. *ἅν* Hermann, libri *τάν*. Hartung maluit scribere *ἄταν ὑπέροπλόν οἱ, τὰν πατὴρ*, existimans ita facili negotio removeri offensionem, quam praebet proximo versu *αὐτῷ* post *οἱ* illatum, sed non cogitavit ista verborum traiectione versus numerum pessumdari. — *ὕπερ κρέμασε* M1, vulgo *ὑπερκρέμασε*. — V. 58. *καρτερὸν αὐτῷ*, puto scribendum esse *ἀάτῳ* sive *ἄτῳ*, Hecker *καρτερόνωτον* coniecit. — V. 60. *κλέψαις* unus cod. ap. Moms., ceteri *κλέψας*. — V. 64. *ἔθεσαν* AM2Pc, *θέσαν* A1GMb Bodl. tres, *θέσαν αὐτὸν* W1M2, vulgo *θέσσαν* forma suspecta, sed *ἔθεσαν* quoque propter numerum incommodum; nam solutio, quamvis per se haud improbanda, abest a ceteris strophis: neque tamen placet quod ego olim et Ahrens proposuimus *θῆσαν* i. e. *ἔθρεψαν*, *nutriverunt*, neque *κτίσσαν*, quod Schneidewin commendat, probabile: Hartung *οἷσιν ἀφθίτους θῆκεν*, Mommsen *ἄφθιτον θέν νιν*

τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον

Ἀντ. γ'.

Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν
σχεθέμεν. ἐγγὺς ἐλθὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
πὰρ ποδὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· Φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον,
ἐς χάριν
τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις

satis invenuste: quod in plurimis antiquorum librorum *αὐτὸν* reperit, manifestum est additamentum, non ut Mommsen putat interpretamentum: neque enim solent *νιν* vel *μιν* quod sexcenties legitur explicare, sed obiectum ubi deest supplent, atque glossae cod. Vrat. plane exhibent *ἐποίησαν δηλονότι αὐτόν*. Accusativum qui desiderat, potest facile restituere, *οἷς νιν* pro *οἷσιν* scribens. — *τι* om. PcW1 et ut Momms. refert omnes antiqui libri, nec agnoscunt glossae Vrat., in quibus *πράττων τι* supra *ἔρδων* scriptum. — *λαθέμεν* GW1P1PcAbMaVa1A, *λασέμεν* ceteri, atque etiam gloss. Vrat. *λήσειν*, quod fortasse praeferendum. M2 ut videtur *ληθέμεναι*. Mommsen *λελαθέμεν* proposuit; quod si *λελαθεῖν* interpretatur, metro repugnat, sed voluit fortasse *λεληθέναι* esse. — *ἔρδων* MbLaAaW1. Hoc an *ἔρδων* in Pindaro praeferendum sit, difficile diiudices. — V. 65. *οἱ* Schol. ALaP1M2Va1 Veneti quinque collocant post *τοὔνεκα*, W1 utroque loco exhibet. — V. 66. *αὖτις* W1, vulgo *αὖθις*. — V. 71. *ἐγγὺς* scripsi, *ἐγγὺς δ'* W1M2Pc Schol., vulgo *ἄγχι δ'*. — V. 73. *Εὐτρίαιναν*, *εὐρυτρίαιναν* PcW1M2, utrumque glossae Vratisl. — V. 74. *παρ ποδὶ* W1P1AbPcVbdfM2 et codd. Gregor. Cor. p. 208., *παρ ποσὶ* ceteri. — V. 75. *εἶπε*, M2Va1 Schol. *ἔειπε*, videtur antiqua corruptela fuisse *τὸ μὲν εἶπε*, unde in aliis *τῷ δ' ἔειπε* (*εἶπε*) legitur. — V. 76. *ἔγχος*. Schol. *Ἀμμώνιος ἔγχος Οἰνομάου τὸ ἅρμα ἤκουσεν*, qui videtur *ἔντος* scripsisse, sed nihil novandum. — V. 79. *τε* Schol. BdAbW12LabVcGu et Schol. Lyc. 156. Greg. Cor. 210, om. Va1Pc, vulgo *γε*. — *ὀλέσαις* cod. Vict. Va2 et Greg. Cor., vulgo *ὀλέσας*. Confer quae Mommsen dixit de his formis in Jahnii Annal. LXXXIII 40 seqq. Existimat autem Mommsen, Pindarum cum Aeolicam formam constanter usurpaverit, tamen si liquida littera praecedat, vulgarem clausulam *ας* servavisse; exempla liquidae antecedentis admodum pauca sunt, quinque vel sex, neque iustam video rationem: quod si Pindarus in verbis, quorum stirps liquida terminatur, participii novissimam syllabam correptam protulisset, hoc discrimen planum foret; nam etiam nomina, quae cadunt in *α* (*η*), fere solent corripi, ubi liquida praecedit; at etiam horum participiorum extrema vocalis aut longa aut incerta est,

μναστῆρας ἀναβάλλεται γάμον

'Επ. γ'.

θυγατρός. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
θανεῖν δ' οἷσιν ἀνάγκα, τί κέ τις ἀνώνυμον
γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν,
ἁπάντων καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀκράντοις ἐφάψατο
ἔπεσι. τὸν μὲν ἀγάλλων θεός
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαντας ἵππους.

Στρ. δ'.

ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον·
τέκε τε λαγέτας ἓξ ἀρεταῖσι μεμαλότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
'Αλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ· τὸ δὲ
κλέος

nullus extat locus, qui brevem syllabam requirat. Neque inscriptiones hoc discrimen confirmant, siquidem in titulo Lesbio apud Conzium extat ἀπο(στέ)λλαις, nam ἐπικρίναις incertum est. Fatendum tamen est Aeolicam clausulam etiam abesse a participio βὰς et iis quae inde descendunt. — V. 80. μναστῆρας W1Pb, μνηστῆρας PcPaAbVdfGM2Va1A Gregor. Sch. Lyc., ἐρῶντας ceteri, quemadmodum etiam ap. Philostr. Im. I 30 'Ιπποδαμείας ἐρῶντας et μνηστῆρας variant libri. Producta syllaba cum offendat, fort. leg. ματῆρας, non dissimile est Homericum Il. IX 394 γυναῖκά γε μάσσεται. — V. 82. τί, Greg. p. 212 τά, quod τί esse dicit, et sic W1 a pr. m. — V. 84. οὗτος ἄεθλος ACLipAabGVbcdfgP1 GuLabW12BαdVa1, vulgo οὑτοσὶ ἀθλός γ'. — V. 85. ὑποκείσεται, Hecker ἐπικείσεται. — V. 86. ἐφάψατο Pc et W1 a m. pr., vulgo ἐφάψατ' ὦν (ων). M1 ἀκράντων ἐφάψατ' ἔπεσι. Deleta igitur particula cum Mommseno hunc versum in duos descripsi. — ἔπεσι ABdαPabW2AbLa GuVbcdg, vulgo ἔπεσσι. — V. 87. δίφρον τε χρύσεον PcW1P1Vbf, vulgo δίφρον χρύσεον ἐν, sed ἐν om. M2GVdAb. — V. 88. τε. Ab δέ. — V. 89. τέκε τε BcβγMbVc cod. Canteri, τέκε δὲ, PabVcgHGuM156, ἃ τέκε Schol. ARP1PcAbMaW1Bγ in m. VabdfM2Va1. Fort. ἑλὼν δ' . . . ἔτεκε (vel τέκετο), Mommsen videtur illud ipsum ἃ τέκε commendare, ut Aeolensium more ᾰ corripiatur, cuius licentiae tenue vestigium mihi alibi reperisse videor. — μεμαλότας M1 ut vulgo, M2 μαιμαότας, μεμαότας Schol. W1PcP1VbdBβ in m. Va1Ab, μεμαῶτας GVf. Vulgatam μεμαλότας ego revocavi, quam etiam glossae cod. Vrat. exhibent ταῖς ἀνδρὶ προσηκούσαις, ἤγουν φροντίδα ποιουμέναις (l. ποιουμένους) τῶν ἀρετῶν· ἀντιστρόφως ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦσαν καὶ (del.) φροντίδες. cf. Epigr. in Ephem. Archaeol. 3408: τᾶς μελέτας ἄνθημα διάκτορον ἐνθάδε κεδνοὶ θέντο παλαιστρίταν ἤϊθεοι φύλακα ἔ(ργμ)ασιν εὐτάκτοισι μεμαλότες ἄκρον ἔφηβοι καὶ φιλί(α) Χαρίτων τ' ἄμμιγ' ὁμοφροσύνᾳ. Hartung scripsit τεθαλότας, quod Schneidewin dubitanter proposuit. —

τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις,
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν Ἀντ. δ'.
ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἐσλόν
ὕπατον ἔρχεται παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππίῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα καλῶν τε ἴδριν ἄμμε καὶ δύναμιν κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κῦρος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι
Ἐπ. δ'.
σὺν ἅρματι θοῷ κλεΐξειν ἐπίκουρον εὑρὼν ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει·

V. 99. αἰεὶ Hermann, v. ἀεί. — ἐσλόν Boeckh, v. ἐσθλόν. — V. 100. βροτῷ, βροτῶν W1 a m.pr. W2M1. — V. 101. ἱππίῳ Hermann, ἱππείῳ PcW1AMaCP1AbGVahdfM2, ἱππικῷ ceteri. — V. 104. ἄμμε καὶ correxit Mommsen, qui in epistola ad Friederichsium 16 accurato exposuit suorum librorum lectiones, quas repetere hic non opus est, ἅμα καὶ APcAbP1W1VabdfGu in m. M2Va1G in m., ἄλλον καὶ RGVeMab, ἄλλον ἢ PabVcgHGuM1 et vulgo. In proecdosi conieci καλῶν τε μᾶλλον ἴδριν ἤ, cf. Ol. II 93, quod recepit Hartung, Hermann scripsit ἀλλὰ καί. Mommseni emendationi favet Schol. 2: πεπίστευκα . . . μηδένα με ἔτι φίλον τῶν νῦν ἀνθρώπων ἐγκωμιάσαι τοῖς ὕμνοις ἀμφότερα ἔχοντα, καὶ ἐπιστήμονα τὰ κατὰ ψυχὴν καὶ σώματος ἰσχὺν τούτου ἀνδρειότερον. nisi ille potius haec optavit et divinavit, quam in suo libro legit; idem videtur δ' ἔτ' ἴδριν legisse, sed Pindarus scripsit δὲ Ϝίδριν (ut est in titulo Boeoto C. Inscr. 1575 Ϝιδρίαο). Paraphrastes, qui hic quoque prorsus omnia pervertit, videtur ἄλλον reperisse, schol. 3 fere consentit cum schol. 2, πεπίστευκα δὲ ὅτι οὐδένα ὕμνησα ἀμφότερα ἔχοντα, ἐμπειρίαν τε καὶ ἄλλων δύναμιν, ubi corrigas ἐμπ. τε καλῶν καὶ δ. — V. 105. δαιδαλωσέμεν, Ambr. δαιδαλωσάμεν. At Parmenides quoque v. 31 δοκιμωσέμεναι ex mea emendatione pro δοκιμῶσαι dixit. — V. 106. τεαῖσι, Hartung ἑαῖσι. — V. 107. ἔχων, Hermann ἑχών. — κῦρος Rauchenstein scripsit, vulgo κῆδος (Boeckh κᾶδος), τωὐτὸ κᾶδος Goram, quod Fachse suspicatus erat κῦδος in quatuor bonis libris reperit Mommsen. — V. 109. κεν om. M2. Hartung locum sic refinxit νίκαν γλυκυτέραν ἔτ' ἔλπομαι . . . κλεΐξειν, ἐπικ. — V. 110. κλεΐξειν, P1 κλεϊξεῖν, W1 alii κλεΐζειν. — V. 111. ὦν Μοῖσα, Hartung ὠ Μοῖσα. — V. 112. ἀλκᾷ, Va2 et tres alii libri ap. Momms. ἀλκάν, quod Hartung coniecit:

ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν,
ἐμέ τε τοσσάδε νικαφόροις
ὁμιλεῖν πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ.

ego suspicatus sum *ἀλκᾶν* i. e. *ἀλκᾶεν* legendum esse. — V. 113. *ἐπ'* om. PcVbdW2M2 lemma Schol., a. s. m. additum in W1Va1, *ἐν* P1 atque ita legit schol. Vindob. cuius lemma est *ἄλλοι δ' ἄλλοισι μεγάλοι.* Mommsen censet *ἐπ'* delendum, ceteras quoque epodos ad hoc exemplum mutaturus: non recte: si quis longam syllabam non refugiat, possit scribere *ἀλλ' ἄλλοισιν ἄλλοι*, quemadmodum est ap. Archil. 35: *Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.* Interim acquiescendum est in Byzantinorum supplemento. — V. 115. *σέ τε*, P1Vb *σε*, schol. fort. *δέ σε*. — *ὑψοῦ*, M2 *ὑψοῖς*, fort. Pindarus *ὑψοῖ* scripsit. — *τοσσάδε* etiam schol. vett. agnoscunt, sed is qui scripsit *χαίρω δὲ γράφων τοιάδε, καὶ ἔσται τοιαῦτα οἷα ἐπὶ σοῦ*, videtur *τοιάδε* legisse, quorsum etiam spectat glossa cod. Vrat. — V. 116. *πρόφαντον*, Sch. *πρόφατον*, W2 a m. pr. *πρόσφαντον.* — V. 117. *παντᾷ* Pc, vulgo *παντᾶ*. Trypho his adverbiis detraxit litteram mutam, contra quem disputat Apollon. de adv. p. 560, qui et analogiae ope et paradosi usus (cf. etiam p. 625) iota tuetur. Mature tamen in nonnullis dialectis plane extrita est haec littera, et inde ab Augusti aetate etiam in communis vitae consuetudine fere omitti solebat cum in his, tum in aliis vocibus, cf. Strabo XIV 648. Artemidor. III 34. Franz Elem. Epigr. 233. Dorienses tamen non solum antiquiore tempore firmiter tenuerunt, vid. Ahrens Dor. 269, sed etiam novissimis saeculis ceteris religiosiores in hac re fuerunt, ita in hymno in Isidem IV 13 scribitur *παντᾷ*, ib. I 4 *ὅπᾳ*, IV 1 *ὁμᾷ*.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Β.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

ΑΡΜΑΤΙ.

Strophae.

⏑ – ⏑ – – ⏑ – ⏓
⏑ ⏖ – ⏑ – – ⏑ ⏖ – ⏑ ⏖ – ⏑ ⏓
⏑ – ⏑ – – ⏑ ⏖ – ⏑ ⏕ – – ⏑ – ⏖ ⏑ ⏓
– ⏑ – ⏖ ⏑ ⏓
– – ⏑ ⏖ – ⏑ – ⏖ ⏑ – – ⏑ ⏓
⏑ – – ⏑ ⏖ – ⏑ ⏕ – ⏑ – ⏑ – – ⏑ – ⏓
– – ⏑ – ⏖ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ ⏓

Epodi.

– – ⏑ – – ⏑ ⏕ – ⏑ ⏓
– ⏑ – ⏑ – ⏖ ⏑ – ⏑ – – ⏑ – ⏓
⏖ ⏑ – – ⏑ – ⏑ – ⏖ ⏑ – – ⏑ ⏓
– – ⏑ – – ⏑ ⏕ – ⏑ ⏖ – ⏓
⏑ – ⏖ ⏑ – ⏑ – – ⏑ – –
⏑ – ⏑ – ⏑ – ⏓

Στρ. α΄.

Ἀναξιφόρμιγγες ὕμνοι,

Str. v. 6. Boeckh in priore ed. in duos versus divisit, ut ultimae sex syllabae peculiarem versum efficerent, ⏑ – – ⏑ – ⏓; recte, ut mihi videbatur, cf. ad v. 8 et 26, nisi quod ⏑ – – ⏑ – ⏓ praestare arbitrabar. — Ep. v. 1 antea erat – – ⏑ – – ⏑ ⏑ – ⏑ ⏓, sed syllaba ex libris revocata v. 55. 75. 95. creticum numerum restituendum esse vidit Tycho Mommsen.

τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπι δίκαιον ξένων, ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

Ἀντ. α'.

καμόντες οἳ πολλὰ θυμῷ
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰών τ' ἔφεπε μόρσιμος, πλοῦτόν τε καὶ χάριν
ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ, ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

Ἐπ. α'.

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

Στρ. β'.

ὅταν θεοῦ Μοῖρα πέμπῃ
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δ' ὁ λόγος εὐθρόνοις

V. 2. θεόν, P1Fb θεῶν. Affert Gramm. Harl. post Heph. p. 331, ubi θεῶν et deinde ἡρώων. — τίνα δ', BbGLaMaAbAVa1M2 τίν'. — V. 4. ἀκρόθινα, Zenodotus ἀκροθίνια, lemma schol. ἀκροθόνια. — V. 6. γεγωνητέον, ὄπι δίκαιον ξένων id est ὄπιδι Hermann, cum ante ὄπιν δίκαιον ξένον coniecisset, libri γεγωνητέον ὀπί, δίκαιον ξένον, nisi quod G a m. pr. ὄπι (ita etiam Va2 alii ap. Momms.) et supra ὅπως, καθώς, unde elicias γεγωνητέον, ὄπᾳ δίκαιον, ξένων ἔρεισμ', Ἀκράγαντος εὐωνύμων τε πατέρων κτλ. Sed potius versu in duas partes diviso mihi olim videbatur scribendum γεγωνητέ' ἐνοπᾷ δικαιόξενον | ἔρεισμ' Ἀκράγαντος. Kayser γεγωνητέον ἐν ὀπί, δίκαιον ξένον. Hartung ὄπιν δίκαιον ξένων, quod probat Mommsen, nisi quod δικαίαν requirit, et praeterea dubitanter ὄπιδα proponit. Hecker ὀπὶ δίκαιον νέων. — V. 10. πλοῦτον, Hermann ὁ πλοῦτον, atque ita numero versus consulitur, ut iam congruat cum ceteris strophis, sed fort. ἐπ' ὄλβον scribendum, cf. schol. τὴν εὐδαιμονίαν ἐπιπέμπων ἐπὶ ταῖς γνησίαις αὐτῶν ἀρεταῖς. — V. 14. σφίσιν, PcW12M2 Ambr. σφίσι. Pc etiam κόμησον. — V. 17. ὁ πάντων, Aa (a pr. m.) ἁπάντων. — V. 21. πέμπῃ. W1 πέμψῃ. — V. 22. ἀνεκάς, Pc ἀναβὰς' cum gl. ὑψωθεῖσα, similiter Leidensis a Mommseno collatus, eodemque ducunt aliorum corruptelae. Ceterum Schneidewin ἀνακάς scribere mavult (Philol. VI 118). — δ' ὁ λόγος Hartung, atque ita ut videtur schol., vulgo δὲ λόγος.

Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πένθος δ' ἐπίτνει βαρύ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις, ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ ταννέθειρα Σεμέλα, φιλεῖ δέ νιν Παλλὰς αἰεί,
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος

Ἀντ. β'.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤτοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἁσύχιμον ἁμέραν ὁπότε παῖδ' ἀελίου
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν.

Ἐπ. β'.

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώϊον
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗπερ ἔκτεινε Λᾶον μόριμος υἱός
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν

V. 23. *δ' ἐπίτνει* Boeckh et Mingarelli, v. *δὲ πιτνεῖ*. Dissen *ἔπιτνεν*, quoniam aoristus requiri videtur, sed haec quoque imperfecti, non aoristi est forma. — V. 24. *πρὸς*, Schol. etiam *πρό*. — V. 26. *νιν* Paris. (M.), ceteri *μιν*. — Post hunc versum APabcGMaHGuLipW12LabP1Va1 Bodl. tres AabM12 exhibent *φιλέοντι δὲ* (Aab *τε*) *Μοῖσαι*. Eiecit Triclinius itaque deest in libris, qui illius recensionem sequuntur. Schol. *ἔστι περισσὸν τὸ κῶλον ὡς πρὸς τὴν ἀντίστροφον· ὅθεν καὶ ὀβελὸς αὐτῷ παράκειται*, quae ipsius Aristophanis nota esse videtur, vid. infra: *τοῦτο τὸ κῶλον ἀθετεῖ Ἀριστοφάνης*. Hinc olim existimabam locum antiquitus iam labem contraxisse; poeta scripsisse videbatur:

Ζώειν μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσαν βρόμῳ
κεραυνοῦ ταννέθειρα Σεμέλαν φάτις·
φιλέοισιν δὲ Μοῖσαι.

ut Archilochus *χρυσοέθειρ* dixit, etiam Pindaro licuit heteroclitou *ταννέθειρα* dicere, cuius ignoratio corruptioni ansam poterat dare. — V. 27. W1 distinguit *πατὴρ, μάλα φιλεῖ δὲ* non male. — V. 30. *τετάχθαι*, Hecker *τετύχθαι* — *γε* ABβγGMabHP1W1Va1AbPc, om. RPabLip GuBaM1. Sed Schol. fort. *βροτῶν γε θανάτου πεῖρας οὔτι κέκριται*. Hartung scripsit *οὔτοι βροτῶν κέκριται πεῖρας*. — V. 31. *πεῖρας*, *πέρας* PcW1 (a m. pr.) M2 Sch. — *θανάτου*, M. Schmidt *καμάτου*. — V. 32. *ἀελίου* GW1, *παῖδα ἡλίου* Pc, *ἁλίου* γ. — V. 33. *δ'*, W1 *τ'* — V. 34. *μετά*, PcM12 *μέτα*, quod non sequar, vid. Nem. III 84. — V. 36. *τῶνδ'*, R Bodl. tres *τόνδ'*, Schol. et hoc et fort. *τοῦδ'*. — V. 37. *ἄλλῳ χρόνῳ*, W1 *ἄλλος χρόνος* cum Sch. 2, qui dicit *χρόνος ἀντὶ τοῦ χρόνου* (*χρόνῳ*.) — V. 38. *Λᾶον* Hermann, v. *Λάϊον* — *μόριμος*, PcW1 Ambr. M1 supra *μόρσιμος*.

παλαίφατον τέλεσσεν.

Στρ. γ'.

ἰδοῖσα δ' ὀξεῖ' Ἐριννύς
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήϊον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει, νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Ἀντ. γ'.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτός
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεόν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων
ἄγαγον· τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας, παραλύει δυσφρονᾶν.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν
καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,

Ἐπ. γ'.

ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον
ἀνδρὶ φέγγος· εἰ δέ νιν ἔχων τις, οἶδεν τὸ μέλλον,

V. 41. Schneidewin *Ἐρινύς*. — V. 42. *ἔπεφνέ οἱ* BcHMbAa (a m. s.), *πέφνε οἱ* GP1AbVa1M2, *πέφνεν οἱ* AMaCW1. quod defendi potest, sed durinsculum, *πέφνεν ἑοῖ* W2Aa (a m. sec.) M1 ut vulgo. — V. 43. *ἐριπέντι* PcW12AGMaP1AbVa1Gu a m. pr., *ἐριπόντι* vulgo; Apollon. Synt. 280 utramque lectionem memorat, cf. Scholiast. Iliad. *Π* 342. — V. 45. *Ἀδραστιδᾶν*, PcW1M2 Ambr. *ἀδραστειδᾶν* vel *ἀδραστεϊδᾶν*, et sic vel potius *Ἀδραστεΐδων* Scholiast. legit, cf. Et M. 19, 47. W2 a m. s. *Ἀδραστίδων*. — V. 46. *ἔχοντα ῥίζαν πρέπει τὸν Αἰν.* Aristarchus legit, nam in sch. quamvis valde confuso apparet pro *Ἀρίσταρχος δὲ οὕτως· ὅθεν σπέρματος ἔχον ῥίζαν τὸν Αἰνησιδάμου· ὡς τῶν ἴσων εἶναι τῷ ἀφ' ὧν ἔχοντι τὸ σπέρμα τῷ Αἰνησιδάμου υἱῷ πρέπει λυρῶν καὶ ἐγκωμίων τυγχάνειν*, scribendum *ἔχοντα*, non *ἔχοντι*, nam in paraphrasi demum substituit dativum. Et *ἔχοντα* Pc a m. s., sed Didymus: *ὅθεν σπέρματος ἔχοντι ῥίζαν· πρέπει τὸν κτλ.* et sic codd., nisi quod W1 *ἔσχοντι*, P1 et La in m. *ἔχουσι*. — V. 52. *δυσφρονᾶν* G. Dindorf, et sic legit Schol. 2, qui *τῶν δυσκόλων φροντίδων* interpretatur, vulgo *δυσφρόνων*, Bβγ *δυσφορῶν*; Ab *δυσφοράν*, W2 *δυσφόρυναν*, PcGGu (a m. s.) M2 *δυσφροσύναν παραλύει*. Schol. veteres vel *ἀφροσύνας* (ita etiam sch. Vind.) vel *ἀφροσύναν* legisse videntur, schol. rec. *δυσφρόνων*. Hartung scripsit *παραλύει δυσφόρων πόνων· πλοῦτος κτλ.* — V. 54. *ἀγροτέραν*, Hecker *ἀκροτέραν*. Hartung interpunxit *ἀγροτέραν. Ἀστὴρ κτλ.* — V. 55. *ἐτυμώτατον* APcMaGAbP1Va12, *ἐτήτυμον* R in m., *ἔτυμον* Schol. in Mb, *ἀλαθινὸν* W12G in m. ceteri, et *ἀληθινὸν* et *ἀληθινώτατον* Schol in paraphrasi. — V. 56. *εἰ δέ μιν ἔχων τις* codd. integri ut P1Va1Pc Schol. (nisi quod

ὅτι θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

Στρ. δ'.

ἴσαις δὲ νύκτεσσιν αἰεί,
ἴσαις θ' ἁμέραις ἅλιον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ

lemma *νιν*), interpolati *ἔχει*. Boeckh *εἴ γε μιν ἔχων*, Schneidewin *ἓν δέ μιν ἔχων*, Tafel et Rauchenstein *εὖ δέ μιν ἔχων*. Ego in epecdosi suspicatus sum *οἶδέ μιν ἔχων τις, οἶδεν τὸ μέλλον*. Mommsen *ἔχων* loco verbi finiti esse putat, Hermann apodosin deesse existimat, ut poeta anacoluthia qnadam sit usus, L. Schmidt postquam priorum interpretum sententias non sine calumnia recensuit, censet apodosin haud desiderari, sed post longissimam intercapedinem verborum v. 89 orationem continuari, qnod vix cniquam probabit, quamqnam etiam Oelschlaeger et Mommsen suspicantur apodosin snbsequi v. 61. Ego interpunctione post *τὶς* addita puto impeditum hunc locum facillime illustrari: brachylogia utitur poeta, verbum enim *οἶδεν*, quod iterandum fuit, semel adhibuit. Hoc enim dicit: Si qnis alius opibus simul et virtutibus clarus futurum tempus mente tenet, hic est. Theronem enim dici, cuius laudes hic erant celebrandae, facile unusquisque audientium intelligebat. — V. 57. *θανόντων*, Hartung *φόνων τῶν*, Oelschlaeger *βροτῶν τῶν*. — *αὐτίκ'*, Rauchenstein probabiliter *αὖτις*, quamquam quid Pindarus scripserit, certo indagari nequit, possis cum alia, tum *ἄντιτ'* vel *ἐς τρὶς* suspicari. — V. 58. *τᾷδε*, Pc *τᾷ*. — V. 59. Aa (a m. pr.) *ἐχθρᾶς* et *ἀνάγκας*, Pa *ἐχθρὰ* et *ἀνάγκα*, hinc Hartung scripsit *ἐχθρὰ λόγον φράσαιο' Ἀνάγκα*. — Ceterum *φράσαις* Va2, reliqui *φράσας*. — V. 61. 62. *ἴσαις δὲ . . . ἴσαις θ' ἁμέραις* scripsi, hoc enim opinor dixit poeta, illic noctibus semper pares esse dies; est illic ver quasi perpetuum, non sicut nos in hoc terrarum orbe hiemis saevitia laborant, itaque etiam tellus sua sponte omnia fert. Accedit autem haec lectio proxime ad bonorum librorum scripturam, nam APcP1G lemma sch. cod. W1 *ἴσαις δὲ νύκτ.* (AVa2 *δ' ἐν*) . . . *ἴσαις δ' ἐν ἁμ.*, Ab *ἴσας . . . ἴσαις* (Ab *ἀν' ἁμ.*), MaVa1 *ἴσον δ' ἐν νύκτ'* et Va1 *ἴσαις δ' ἐν ἁμ.* M2 *ἴσαις δὲ ν. . . . ἴσαις δ' εν*, sed suprascr. bis *ἴσον*. Vulgo legitur *ἴσον δὲ νύκτ . . . ἴσα δ' ἐν ἁμέραις*, quae lectio interpolatis libris debetur. Boeckh *ἴσον δὲ ν . . . . ἴσον ἐν ἁμ.*, Hartung *ἴσον δὲ ν. αἰεὶ οἷον ἐν ἁμέραις*, ego in epecdosi iam suspicatus eram *ἐν* delendum et scribendum esse *ἴσᾳ δὲ ν. . . . ἴσᾳ δ' ἐν ἁμέραις*, quamquam sane haec metri species ab reliquis strophis recedit, hinc Mommsen *ἴσαις δὲ ν . . . ἴσαις δ' ἁμ.*, sed quomodo explicandum censeat locum, non significavit. — *ἅλιον*, ex nullo libro *ἀέλιον* enotatum. — V. 63. *δέκονται βίοτον* Wüstemann, idque plane extat in Ambr. (ubi glossa *δέχονται* suprascr.) atque eodem ducit Pc ubi est *δὲ δέρκονται βίοτον* (*δὲ* add. m. sec.), *δέρκονται βίοτον* GP1AbVa1Gu supra M2 a m. pr. (supra *νέμονται*, idem *βίον* exhibet), vulgo *νέμονται βίοτον*, Geelius *δρέπονται*, Hermann *δεδόρκαντι βίον*, Boeckh coniecit *δράκονται*. — *ἐν χερὸς ἀκμᾷ* Sch. APcG (supra *ἀλκᾷ*) CAbVa1P1, *ἀλκᾷ χερῶν* vulgo (Gu *ἀρχᾷ χερῶν* et in m. *ἀλκᾷ*, H *ἀρχᾷ χειρῶν ἀλκᾷ* et in m. *ἀκμᾷ*). Mommsen *ἔγχερος* coniecit, quod idem sit atque *ἐγχειριδίου*, idque existimat scholiorum auctoritate

κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις, ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

'Αντ. δ'.

ὅσοι δ' ἐτόλμασαν ἐστρίς
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων
νᾶσος ὠκεανίδες
αὖραι περιπνέοισιν· ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων, ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνοις,

'Επ. δ'.

βουλαῖς ἐν ὀρθαῖσι 'Ραδαμάνθυος,

firmari (vid. Mus. Rhen. XVIII 303), ego non credo, sed teneo, quod dudum conieci ἔγχεος ἀκμᾷ, scholiastae 1 et 2 vulgatam tuentur, sed sch. 3 qui dicit τινὲς δὲ χερὸς ἀκμᾷ τὸ ἄροτρον ἢ τὸ δόρυ meam videtur coniecturam firmare. Quemadmodum Sophocles facem vel pilam ἔγχος appellavit, poterat etiam hic poeta vomerem dicere. Ceterum facile aliquis coniiciat χαράσσοντες, neque tamen hoc praeoptaverim. — V. 65. κεινὰν, Pe M2 κενεὰν, utrumque Schol.; κενεὸν περὶ Sch. Arati 110. Poeta scripsit κενϝάν. — παρὰ μὲν τιμίοις, Hartung παρὰ τιμαόροις. — V. 66. ἄδακρυν, Ambr. ἀδάκρυτον. — V. 67. ἀπροσόρατον, Schol. Vrat. ἀπροόρατον. — V. 69. Hermias in Plat. Phaedr. 152 exhibet ἑκατέρωθε ἀπὸ πάμπαν ἀδίκων ἔργων σχεθέμεν ψυχὰν ἔστειλαν κτλ. — V. 70. ἔτειλαν, PeM12 ἔστειλαν. — V. 71. νᾶσος BdeLipW1 (W2 a m. s.) AabMB, νάσος PcII (in m.), νάσους M12HLab, νᾶσον RVa1, νάσον A, νάσων Ma. — V. 72. περιπνέοισιν PcGGu, περιπνέουσι vulgo. — V. 74. χέρας, χερσί BαAaW2 (a m. s.), Hartung κάρα. — στεφάνοις vulgo, quod explicandum per ἓν διὰ δυοῖν, ut sit ὅρμοις στεφάνων, sed PaVa1M2 στεφάνους, Pe W2Aa utrumque, Hermann στεφάνας, Boeckh κεφαλάς, Karsten κροτάφους, quae coniectura maxime verisimilis est, nisi forte κροτάφοις poeta aeolico more scripsit. Scholiastae iam non poterant locum expedire, sed quid legerint, ambigo. In ecdosi conieci ἀναπλέκοντ' ἐϋστεφάνοις. — V. 75. ἐν om. W1BcAaMbM2. — ὀρθαῖσι PeVa2 Sch., ὀρθαῖς vulgo. — V. 76. (παῖς ὁ) Γᾶς ἑτοῖμον [αὐτῷ] πάρεδρον, πόσις ἁπάντων 'Ρέας ὑπέρτατον ἐχοίσας θρόνον, ita locum graviter corruptum restitui, nam αὐτῷ manifestum glossema, contra παῖς ὁ (sive πάϊς ὁ malis) et sententia et versus requirit, et sic fere Didymus constituit locum: ὁ δὲ Δίδυμος ἐπὶ τοῦ Κρόνου καθιστᾷ τὸν λόγον· ὅντινα 'Ραθάμανθυν ὁ πατὴρ πάντων ὁ Κρόνος, ὁ τῆς Γῆς παῖς, ὁ ἀνὴρ τῆς ὕπατον ἐχούσης θρόνον 'Ρέας ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον, sed non vidit ἁπάντων corrigendum pro ὁ πάντων, quod hyperbato non ferendo ad πατὴρ retulit, quo nomine simpliciter Saturnus appellari potuit, cf. Plato Cratyl. 404 a. Vulgo legitur: Κρόνος ἕτοιμον αὐτῷ πάρεδρον πόσις ὁ πάντων 'Ρέας ὑπέρτατον ἐχοίσας θρόνον, sed AGPcP1Va1M2 γᾶς ἕτοιμον (Pc addit γε) αὐτῷ π. π. ὁ π. Ρ. ὕπατον ἐχοίσας παῖς (vel etiam παῖς ἐχοίσας, ut videtur) θρόνον. Et Κρόνος antiquitus non lectum esse inde apparet, quod Aristarchus omnia ad Iovem retulit, Didymus demum Saturnum intelligendum esse vidit; ipsum nomen an intulerit, non liquet,

ὃν πατὴρ ἔχει (παῖς ὁ) Γᾶς ἑτοῖμον [αὐτῷ] πάρεδρον,
πόσις ἁπάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ·.

Στρ. ε'.

ὃς Ἕκτορ' ἔσφαλε, Τροίας
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον

Ἀντ. ε'.

Διὸς πρὸς ὄρνιχα θεῖον.
ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλλομεν
ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀιστοὺς ἱέντες; ἐπί τοι
Ἀκράγαντι τανύσαις
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν γε ἐτέων πόλιν φίλοις ἄνδρα μᾶλλον

quamquam fort. *Κρόνος, ὁ Γᾶς* legit. Aristarchus coniecit *πόσιος* pro *πόσις*, ut Rhadamanthys compotator Iovis diceretur; quod si is quoque *ὁ πάντων* servavit, ut videtur Schol. indicare, scripsisse censendus est *ὃν πατὴρ ἔχει . . . . . πάρεδρον πόσιος ὁ πάντων Ῥέας ὕπατον ἐχοίσας παῖς θρόνον* satis *ἀμέτρως*, sed fortasse *ὃν πατὴρ πάντων ἔχει ἑτοῖμον αὐτῷ πάρεδρον πόσιος, ὧν παῖς Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον* scripsit. — V. 81. *Τροίας*, Boeckh *Τρῴας* probabiliter, cf. Eustath. Prooem. 13, sed vulgaris forma etiam Nem. II 14. Isthm. V 28. VII 52 legitur. — V. 85. *φωνάεντα* PbcGP1Va1, *φωνήεντα* Pa, *φωνάετα* AMa (a pr. m.), *φωνᾶντα* Schol. et vulgo, *φωνεῦντα* AaW2 Eustath. Il. 1237, 61. Prooem. 2. Cramer. An. P. III 247, 27. — *πὰν* W2, *πᾶν* vulgo, utrumque Aa, Boeckh *τοπὰν*, Oelschlaeger *ἐς δὲ μέσον* coniecit, Hartung locum sic refinxit *ἄσκοπα μὲν ἑρμηνέων χατίζει.* — V. 86. *φυᾷ*, *φύσει* Longin. Rhet. I p. 313 ed. Spengel. — *λάβροι παγγλωσσίᾳ*, fort. poeta scripsit *λάβρῳ παγγλωσίᾳ.* — V. 87. *γαρύετον*, Dawesius *γαρυέμεν*, at *γαρύετον* etiam Aristid. II 35. Theophyl. Ep. VII 12 et Greg. Cor. 218. Hartung pessime *γαρυέται*, quod novum substantivum esse credit, non reputans tunc *ἄκραντα* nullo modo ferri posse. — V. 91. *Ἀκράγαντι*, W12PabBcaLipH MabLabM1 *Ἀκράγαντα.* — *τανύσαις*, PcP1Gu (a m. pr.) M2 *τανύσσαις*, G *τάνυσσον*, Va1 *τανύσας*, et Schol. quoque per part. *τείνας* interpretatur et cum seq. iungit, quem praeeunte Hartungo secutus sum, vulgo enim post *τανύσαις* interpungi solet. — V. 92. *αὐδάσομαι*, Lip a pr. m. *αὐδάσομεν.* — *ἐνόρκιον*, Schol. in lem. *μεθ' ὅρκιον.* — V. 93. *γε ἐτέων* E. Schmid, codd. *γ' ἐτέων*, Schol. *γ'* om. Hartung *κεν ἐτέων.* Pindarus *ϝετέων* scripsit.

εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα

Ἐπ. ε'.

Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος
οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων κρύφον τε θέμεν ἐσλῶν καλοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν·
ἐκεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,
τίς ἂν φράσαι δύναιτο;

V. 95. ἐπέβα PcVa12AMaP1Ab Sch., ἔβα vulgo, Hartung ἐλᾷ. — V. 97. θέλων, Boeckh ἐθέλων. — κρύφον Aristarchus, cum ante κρύφιον legeretur. — ἐσλῶν aut ἐσλὸν PacGP1AbVa1, ἐσθλῶν LipAaHGu Moscovienses Leidd., ἐσθλὸν APbW2. sed Ambr. ut videtur θέμεν' ἐλών et deinde κακοῖς. Haec iam antiquitus labem contraxerunt: nam τὸ λαλαγῆσαι θέλων omnino non est graecum: neque tamen aliud quid legebant veteres, qui pro arbitrio ut solent in locis corruptis et impeditis interpretantur: ὁ γὰρ κόρος τῶν ἀνθρώπων τῶν ἀργῶν (scr. μάργων) τῶν θορυβῆσαι θελόντων ἐπέβη τῷ τοῦ Θήρωνος ἐπαίνῳ, κρύψιν θέλων θεῖναι τοῖς τῶν ἀγαθῶν ἔργοις. Conieci olim καλαλαγῆσαι θέλων i. e. καταλαλαγῆσαι. Hartung scripsit συναντόμενος· ἀλλὰ μάργων γὰρ ἀνδρῶν τὸ λαλαγῆσαι, ἐθέλειν κρύφον τε κτλ. quae sane non improbabilis est emendatio: ipse tentavi ἀλλὰ μάργων ὑπ' ἀνδρῶν, λάλαγες οἵ τ' ἤθελον κρύφον τιθέμεν ἐσλῶν καλοῖς ἔργοις ἔπι· ψάμμος κτλ. λάλαγες secundum Hesychium sunt χλωραὶ βάτραχοι. — V. 99. ἐκεῖνος, R κεῖνος, Va1 GuAGMaM2 κἀκεῖνος vel κἀκεῖνος.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Γ.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

Strophae.

–́⏑⏑–⏑⏑–– –́⏑–– –́⏑⏑–⏑⏑⏓
–́–⏑⏑–⏑⏑–– –́⏑⏓
–́–⏑⏑–⏑⏑–– –́⏑–– –́⏑⏑–⏑⏑⏓
–́–⏑–– –́⏑–– –́⏑–– –́⏑⏑–⏑⏑–– –́⏑⏓
–́⏑–– –́⏑–– –́⏑–⏒

Epodi.

–́⏑–⏒ –́⏑–– –́⏑⏑–⏑⏑⏓
–́⏑–– –́⏑⏑–⏑⏑–– –́⏑–– –́⏑⏓
–́⏑⏑–⏑⏑–– –́⏑⏑–⏑⏑–– –́⏑⏓
–́⏑⏑–⏑⏑–– –́⏑–⏒ –́⏑⏑–⏑⏑⏓
–́⏑–– –́⏑–– –́⏑–⏒

Στρ. α΄.

Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,

Ep. v. 4. Boeckh ante in duos versus diviserat, ut seni fierent versus. „De versuum distributione nihil est quod moneam, nisi quod dubium potest videri, utrum epodi v. 4 et 5 coniungendi sint an disiungendi. Coniunctionem suadet elisio per apostrophum epod. 2. 3, divisionem syllaba anceps epod. 1, interpunctio epod. 2 atque elegans roborisque plenus brevioris numeri ante clausulam usus. Sed syllaba anceps etiam v. 27 in medio reperitur versu: atque item apostrophus tum alibi tum v. 26 in fine versus. Quapropter fluctuante iudicio malui vulgatam relinquere distinctionem quam utrumque metrum coniungere.“ *Boeckh.* idem in editione altera hos versus coniunxit.

V. 1. ἀδεῖν Sch. W1 et ut videtur plures libri boni, v. ἁδεῖν.

Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον. Μοῖσα δ' οὕτω ποι παρέστα μοι νεοσίγαλον
εὑρόντι τρόπον
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

Ἀντ. α'.

ἀγλαόκωμον· ἐπεὶ χαίταισι μὲν ζευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν
Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως, ἅ τε Πίσα με γε-
γωνεῖν· τᾶς ἄπο
θεύμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,

Ἐπ. α'.

ᾧ τινι, κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας
ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν
ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας, τάν ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων,

V. 3. ὀρθώσαις lemma schol. Va2, reliqui ὀρθώσας. — V. 4. ποι, Pc τοι, lemma schol. μοι, schol. 1 et 2 in interpretando prorsus ignorant, sch. 3 που substituit, schol. 4 μέν. — παρέστα, Gu παρίστα. Schol. tuentur παρέστα praeter 2, qui dicit: οὕτω μοι ἐρχέσθω ἡ Μοῦσα, nec tamen satis certum est, hunc aliud quid legisse, nam aut ἔρχεται scripsit, aut hariolatur tantum, ut commodam eliciat sententiam: nam si totius loci necessitudinem consideramus, consentaneum est, poetam Musae auxilium invocavisse, itaque ferri nequit παρέστα, obscuratum autem est ut videtur reconditum aliquod Musae nomen, velut Μοῖσα Τιτωποῖ, παρίστα μοι νεοσίγαλον κτλ. h. e. quasi dicas, Musa Aurora. Respicit poeta unam ex Musis, quas Siculus poeta Epicharmus adhibuit, vid. Tzetz. ad Hes. Op. p. 23 ed. Gaisf. Ἐπίχαρμος δὲ ἐν τῷ τῆς Ἥβης γάμῳ . . . Νειλοῦν, Τριτώνην, Ἀσωποῦν, Ἑπταπόλην (l. Ἑπταπόρην), Ἀχελωΐδα, Τιτόπλουν, Ῥοδίαν, ubi Τιτωποῦν legendum esse iam alias significavi: ut hanc potissimum eligeret Pindarus, videtur Castorum religione permotus esse. Παρίστα Doriensium more dixit poeta, ceterum cf. Empedocl. ap. Hippol. adv. Haeret. 254: νῦν αὖτε παρίστασο Καλλιόπεια Ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι. Hartung scripsit Μοῖσα δ' ἀντωπὸν παρέστα μοι, L. Schmidt tuetur librorum scripturam et haec ad carmen Olympicum II spectare contendit, ita credit facillimo negotio omnes difficultates expediri; ego has argutias, maximeque quae p. 215 disputavit, non intelligo: fortasse qui minus obtuso ingenio sunt, persentiscunt. — V. 7. θεόδματον Sch. W1Pc. θεόδμητον HGuAaLaBdM1. — V. 8. mire scholiasta bis dicit συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ τὸν Αἰνησιδάμου παῖδα Θήρωνα, quasi inversam structuram reperisset. — V. 9. με, Hartung ἕ. — γεγωνεῖν, Sch. etiam γεγώνειν, Emperius γεγωνεῖ. — V. 10. θεύμοροι, APcW1 θεόμοροι, Sch. M2 θεόμοιροι, Sch. Il Ξ 410 θεόμηροι. — νίσοντ' GP1Pc, Va1 νήσοντ', Ab νήσσοντ', BdAaHGuW2 Schol. Il. νείσσοντ', v. νίσσοντ'. — V. 12. γλεφάρων M12, ut Boeckh scripsit, v. βλεφάρων. — V. 13. βάλῃ Sch. APcW2BcdGLipMaHGuAabLbVa1, v. βάλοι. — V. 15. ἀέθλων PcW1 corr., v. ἄθλων.

Στρ. β'.

δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ·
πιστὰ φρονέων Διὸς αἴτει πανδόκῳ
ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις στέφανόν τ' ἀρετᾶν.
ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγισθέντων, διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα,

Ἀντ. β'.

καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν αὐγαῖς ἁελίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν'

Ἐπ. β'.

Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ

V. 16. λόγῳ Sch. PcGGuP1Ab (in m.) Va1, v. ὄγε. Iam veteres grammatici, quos etiam recentiores partim secuti sunt, v. 15 post ἀέθλων stigmen ponendam censuerunt, ut v. 16 novum enuntiatum inchoetur: at nullo pacto πείσαις cum αἴτει sive αἰτεῖ conciliari potest, quod certe πείθων dici debebat. Igitur stigmen v. 16 post λόγῳ collocavi, ut poeta dicat: πιστὰ γὰρ φρονέων Διὸς ἐζήτει πανδόκῳ ἄλσει. hoc enim αἴτει, si integrum est, significare intelliget, qui quidem totius loci institutam sententiam accuratius examinaverit, quamquam nullum simile novi exemplum: at vicissim ζητεῖν in locum verbi αἰτεῖν seriores inprimis substituere solent. — Ceterum πείσαις Va2G, reliqui πείσας. — V. 17. αἴτει AGuVa1Va2 a m. pr. M2 corr., αἰτεῖ RLaP1CLipGAabMabHW12 M1, ἔτει PcM2 (a m. pr.) Eustath. 381, 27: λέγει δὲ καὶ Πίνδαρος ἐν Ὀλυμπιονίκαις καινῶς αἶτος τὸ ἐνδιαίτημα, οἷον Διὸς αἴτει πανδόκῳ. cf. 907, 63 et Gregor. Cor. 219; cum his consentit schol. Vindob., recentiores schol. ᾔτησε interpretantur; veteres grammatici quid secuti sint prorsus latet. Hartung αἰτῶν scripsit, ego aliquando conieci Διὸς αἰϝεὶ πανδόκῳ ἄλσει legendum esse, Koenius Ἄλτει (cf. Ol. XI 45), quam coniecturam prius comprobavi: existimabam autem huius vocis interpretatione ἄλσει in margine adscripta deinde aliud vocabulum excidisse, velut Διὸς Ἄλτει πανδόκῳ Δοῦναι σκιαρόν τε φύτευμα. — V. 18. σκιαρόν, σκιερὸν PcMaP1HLipCM2 — ἀρετᾶν GP1Va1Gu, ἀρετῶν Ab, ἀρεταῖς HMb, v. ἀρετᾶς. Fort. ἀνθρώποις τ' ἀρετᾶν στέφανον, ut ξυνὸν quemadmodum ἀμφότερον adverbium sit. — V. 19. αὐτῷ Schol. unus cum πατρὶ iungit, alius αὐτῶν legit, Hecker coniecit αὐγᾷ. — V. 21. ἁμᾶ scripsi, vulgo ἁμᾶ, AW2AaBd ἅμα. — V. 23. ἔθαλλεν, AMa ἔθαλεν. — ἐν om. Pc. — V. 24. ἀελίου Va1, ἁλίου M2, v. ἁλίου. — V. 25. ὥρμαιν', Sch. ὥρμαινεν, Ambros. ὥρμα, quod Boeckh et Hartung coniecerunt. — V. 26. Ἰστρίαν νιν PcGP1LaAbVa1 Bodl. tres, Ἰστριανήν, quod etiam Sch. memorat, reliqui; Aristarchus legit: ὥρμαιν'· Ἰστρία νιν ἔνθα κτλ. sed elisio in fine versus praesertim novissimi tum demum ferenda,

δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων
μυχῶν,
εὖτέ μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν
χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ', ἅν ποτε Ταϋγέτα
ἀντιθεῖσ' Ὀρθωσίᾳ ἔγραψεν ἱράν.

Στρ. γ'.

τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα
ψυχροῦ· τόθι δένδρεα θάμβαινε σταθείς.
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ τέρμα
δρόμου
ἵππων φυτεῦσαι. καὶ νὺν ἐς ταύταν ἑορτὰν ἵλαος ἀντιθέοι-
σιν νίσεται
σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.

Ἀντ. γ'.

τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα
νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πᾳ θυμὸς ὀτρύνει φάμεν, Ἐμμε-
νίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος εὐίππων διδόντων Τυνδαριδᾶν,
ὅτι πλείσταισι βροτῶν

si oratio continuatur: vitavit hanc offensionem Hartung, qui scripsit *ἐς γαῖαν βορείαν θυμὸς ὦρμα, Ἰστρία νιν ἔνθα κτλ.* Ego *ὦρμαιν'* teneo, sed puto poetam scripsisse *ἐς γαῖαν πορεύειν* (h. e. *πορεύεσθαι*) *θυμὸς ὦρμαιν' Ἰστρίαν· πρὶν ἔνθα Λατοῦς*, atque ita etiam enuntiatum quod sequitur magis illustratur. Grashoff *Ἰστρίαν ἴν* coniecit. — V. 30. *Ὀρθωσίᾳ*, hiatum ut removeret Hartung *'πέγραψεν* suspicatus est, ego et Ahrens *Ὀρθωσίας* coniecimus, sed dativus requiritur, qui ad verbum *ἀνατιθεῖσα* est referendus. Atque hiatus in dativo primae et secundae declinationis, ut est apud Homerum frequentissimus, ita etiam a Pindaro non est alienus: velut Ol. VI 82 *γλώσσᾳ ἀκόνας*, Nem. VI 23 *Ἀγησιμάχῳ υἱέων*. Isth. I 16 *Καστορείῳ ἤ*, ib. 61 *Ἡροδότῳ ἔπορεν*, videturque ipsa pronuntiatio mitigavisse asperitatem. — *ἱράν* ARMabCLipW2, v. *ἱεράν*. — V. 31. *καὶ κείναν* Boeckh, libri *κἀκείναν* vel *κἀκεῖναν*. — *πνοιαῖς* Sch. A AabGLipW12CMabHVa1Gu Greg. Cor. 220, vulgo *πνοιᾶς*. — V. 32. *θάμβαινε*, quod conieci, Ambr., vulgo *θαύμαινε*, Pc *θάμαινε*. Boeckh *θαυμαίνει*, Kayser *θαύμανε*. — V. 33. libri accuratius si collati essent, haud dubie etiam hic *δυωδεκάγν.* praeberent. — *περί*, Pc *δε*. — V. 34. *καὶ νὺν* scripsi, v. *καί νυν*. — *νίσεται* P1GPc Schol. unus, qui *ἥξει* interpretatur, *νήσεται* AbVa1, *νείσσεται* W12AaHGuM1, v. *νίσσεται*. — V. 35. *διδύμνοις* Hermann, LaLipW2 *διδύμμοις* (quam formam *Λευκίμμη* ex *Λευκίμνη* i. e. *Λευκίμη* ortum tuetur), *διδύμοισι* PcAGVa1 CP1MaAbM2, vulgo *διδύμοις* (H *παισί διδύμοις*). Olim etiam conieci *διπλόοις παίδεσσι*. — V. 36. *ἐπέτραπεν*, AMaGP1HVa1PcM2 *ἐπέτρεπεν*. — V. 38. *πᾳ* W2, *πα* Sch. et codd. (W1PcM2 *πᾶ*), nisi quod La et fort. G *παρ* ex interpolatione. Hartung *ἐμὲ δ' ἔμπα*, ego olim *πᾶς* scripsi, latet aliud quid, fort. *ἐμὲ δ' ὀμφὰ θυμὸν ὀτρύνει*.

ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

Ἐπ. γ΄.

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ᾽ ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέστατον,
νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ᾽ ἔστι σοφοῖς ἄβατον
κἀσόφοις. οὔ μιν διώξω· κεινὸς εἴην.

V. 40. ξεινίαις, Sch. PcM2 ξενίαις. — V. 42. δὲ χρυσὸς, W1 ὁ δὲ χρ. deinde Bβγ αἰδοιέστατος. — V. 43. γε, Sch. etiam δὲ, et sic M12. — V. 44. σταλᾶν PcGVa1P1, v. στηλᾶν. — V. 45. μιν Sch. AR (in m.) GMa, vulgo μὴν, solus Paris. ap. Momms. νιν, sed videtur scribendum οὐ μὴ διώξω. — κεινὸς, Schol. etiam κεῖνος. Hartung refinxit οὔ μιν διώξω κεῖσ᾽ ὃς εἴη.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Δ.

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

ΑΠΗΝΗι

Stropha.

⏑ ⏑ ⊥ ⏑ ⊥ ⏑ ⏑ – ⊥ ⏑ ⏑ – ⏑ ⏑ – ⊥ ⏑ – ⏑ – ⏒
⏑ ⏑ ⊥ ⏑ ⏑ – ⊥ ⏑ ⏑   ×– ⏑ ⊥ ⏑ ⏑ – ⏑ – ⏒
– ⊥ ⏑ ⏑ – ⊥ ⏑ ⏑ – –
– ⊥ – – ⊥ –
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ – ⏒
– ⊥ ⏑ ⊥ ⏑ ⏑ – ⊥ ⏑ –
×– ⏑ ⊥ ⏑ ⏑ – ⏑⁀⏑ ⏑ ⊥ ⏑ ⏑ –   ⊥ ⏑ – ⏑ ⏓
– ⊥ ⏑ ⏑ – ⊥ ⏑ –
⏑ ⏑ ⊥ ⏑ – ⏑ – ⏑ – ⏒

Epodus.

– ⊥ ⏑ ⏑ – ⏑ – ⏒
⊥ ⏑ ⏑ – ⏑ – –
⏑ ⊥ ⏑ – ⏑ ⏑ –
– ⊥ ⏑ ⏑ – ⏑ ⏑ – ⊥ ⏑ ⏓
⏑ ⊥ ⏑ ⊥ ⏑ ⏑   ⊥ ⏑ – ⏑ ⏑⁀⏑ ⏑ –
⊥ ⏑ ⏑   ⏑ ⏑ – ⏑
– ⊥ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⊥ ⊥ ⏑ – ⏑ – ⏑ ⊥ ⏑ ⏑⁀⏑ ⏑ –
⏑⁀⏑ ⏑ ⏑⁀⏑ ⏑ ⊥ ⏑ ⏑ –
⏑ ⊥ ⏑ – ⏑ ⏓

Str. v. 4. disiunxi in duos, quemadmodum Boeckh prius, post copulavit hoc modo

Στρ.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ· τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς ἑλισσόμεναί μ' ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων.
ξείνων δ' εὖ πρασσόντων
ἔσαναν αὐτίκ' ἀγγελίαν
ποτὶ γλυκεῖαν ἐσλοί.
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις
ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα Τυφῶνος ὀβρίμου,
Οὐλυμπιονίκαν δέκευ
Χαρίτων ἕκατι τόνδε κῶμον,

Ἀντ.

χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. Ψαύμιος γὰρ ἵκει
ὀχέων, ὃς ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι, κῦδος ὄρσαι
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς·
ἐπεί νιν αἰνέω, μάλα μέν

– ⏒ – ⏒ – ⏒ ⏑ – ⏑ ⏑ ⏒ ⏑ ⏑ –

Item in Epodi v. 8 et 9 discessi a Boeckhio, qui versus sic descripsit:

⏑ ⏒ ⏒ ⏑ – ⏑ – ⏑ – ⏑ –

⏑ ⏑ ⏒ ⏑ ⏑ – ⏖ ⏑ ⏒ ⏑ ⏑ –

Ceterum in inscriptione Boeckh ex coniectura ut videtur *ἀπήνῃ* dedit. In Pc inscribitur *ψαύμιδι καμαρηναίω ἵπποις νικήσαντι τὴν πβ' ὀλυμπιάδα τεθρίππω παιδὶ ἄκρωνος.* W2 om. In scholiis partim *τεθρίππῳ* partim *ἵπποις* legitur.

V. 1. *ὧραι*, Süvern *Ὧραι*. — V. 7. *ὦ* om. ABdGMaGuAbLabVa1Pc W2M12. — *Κρόνου*, lemma sch. rec. *Κρόνιε*. — V. 8. *ἶπον*, P1 *ἵππον* — *ἀνεμόεσσαν* Sch. AGMaP1PcAbVa1, v. *ἠνεμόεσσαν*. — *ὀβρίμου* M12 ut vulgo, cf. C. W. Kayser in Philol. XVIII 655, *ὀμβρίμου* AMaLbAabP1 a m. pr. Va1Pc. — V. 9. PcM2 *Ὀλυμπιονίκαν*. Affert Gramm. Harl. post Hephaest. p. 331. — *δέκευ*, Sch. APcGAbP1Va1M2 *δέξαι*, sed G i. m. *δέκευ* ut Ma. Si retuleris hoc ad v. 10, ferri potest *δέξαι*, sed numeris minus commodis. — V. 10. *Χαρίτων* Boeckh, *Χαρίτων θ'* APcGAbP1Va1. Fuerat *Ϝέκατι*. Fortasse alii ut incommodae particulae mederentur *εὐρυσθενέων τ' ἀρετᾶν* legebant, ut schol. sic sit supplendum: *τὸ δ' ἑξῆς Χαρίτων τ' (ἀρετᾶν τ') εὐρυσθενέων ἕκατι.* Hartung servata particula locum sic refingit *Χαρίτων θ' ἕκατι τόνδε κῶμον, χρ. φ. εὐρ. ἀρετᾶν Ψαύμιός τε νίκας ὀχέων, ὃς κτλ.* — *κῶμον*, schol. Vind. *κόμπον*. — V. 11. mihi videbatur sic emendandus: *τόνδε κῶμον. χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν Ψαύμιος παρ' ἵκει ὀχέων κτλ.* Ceterum *Ψαύμιος* APabcBαβγGP1AabLabMaGuVa1W2, v. *Ψαύμιδος*. — *ἵκει* Sch. APcGP1 a m. pr. AbMaVa1Gu in m., v. *ἥκει*. — V. 15. *ἐπεί νιν* Boeckh, et sic duo libri ap. Momms., vulgo *ἐπεί μιν*. Omnino cf. quae de formis *μιν* et *νιν* apud Pindarum dixit Mommsen in Jahnii Annal. LXXXIII 44.

τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά τε ξενίαις πανδόκοις,
καὶ πρὸς Ἀσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ τετραμμένον.
οὐ ψεύδεϊ τέγξω λόγον·
διάπειρά τοι βροτῶν ἔλεγχος·

Ἐπ.

ἅπερ Κλυμένοιο παῖδα
Λαμνιάδων γυναικῶν
ἔλυσεν ἐξ ἀτιμίας.
χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον
ἔειπεν Ὑψιπυλείᾳ, μετὰ στέφανον ἰών·
οὗτος ἐγὼ ταχυτᾶτι·
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
φύονται δὲ καὶ νέοις ἐν ἀνδράσι πολιαὶ
θαμάκι παρὰ τὸν ἁλικίας
ἐοικότα χρόνον.

V. 17. *ξενίαις* PcGP1Va1, v. *ξεινίαις*, quod ferri potest, si *παῖ* v. 7 producatur. — V. 18. *ἀσυχίαν* Heyne, v. *ἡσυχίαν*. — V. 21. *ἅπερ*, *ἅπερ καὶ* AGPcP1 MaVa12M2 Sch. in interpr. Est sane particula *καὶ* satis conveniens, sed *ἅπερ καὶ* minus commodum reddit numerum, itaque nescio an *ἃ καὶ* scribendum sit. — V. 24. *χαλκέοισι* GP1Va1AbGu corr., *χαλκεοῖσι* AMa, *χαλκέοις* Sch., *χαλκοῖσι* vulgo, *χαλκείοισι δ' ἐν ἔντεσσι* Pc. — V. 26. *ταχυτᾶτι* cum praegressis iungit W1 Apollon. de Pron. 332 C, cum seqq. Pc Schol. — V. 27. *χεῖρες*, PcMbAa corr. *χέρες*. — V. 28. *δὲ* om. Sch. — *ἐν ἀνδράσι πολιαὶ θαμάκι*, quod in prima editione scripsi, confirmavit Ambr. qui *θαμάκι* praebet; legebatur *ἐν ἀνδράσιν || πολιαὶ θαμὰ καί*. — V. 29. *παρά*, *πάρ* LipAaLaMbW12, *παρὰ τὸν τῆς* Pc.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ε.

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

ΑΠΗΝΗι.

Strophae.

⏒ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ –

⏒ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑⏑ – –́ ⏑ – ⏑ – ⏑̄

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑̄

Epodi.

⏒ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏑̄

⏒ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ ⏑

Fr. 207. Schol. Pind. Pyth. IV 408: *ἄφθιτον δὲ αὐτὸ εἶπε, καθὸ χρυσοῦν ἦν· ὁ δὲ χρυσὸς ἄφθαρτος· καὶ ἡ Σαπφώ, ὅτι Διὸς παῖς κτλ.* sed Schneider et Boeckh viderunt excidisse Sapphus fragmentum Pindarique haec esse collato Proclo ad Hesiod. Opp. et D. 428: *τοῦτο καὶ Πίνδαρον οὕτω καλεῖν περὶ τοῦ χρυσοῦ λέγοντα· κεῖνον οὐ σῆς οὐ κὶς δάμναται, ὡς ἄσηπτον,* Deinde Sch. *κὶς δάπτει, βροτέαν.* inde Valckenaer vidit recipiendum esse utrumque verbum *δάπτει, δάμναται δέ.* — V. 3. *κάρτιστον* Boeckh, vulgo *κράτιστον.* — *κτεάνων* Boeckh, vulgo *φρενῶν.*

208. [244.]

–́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
×̱ ⏑ –́ ⏑ ⏑ – . . . . .

Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν
αἰχμάλωτοι, καὶ χρυσέων βελέων
ἐντὶ τραυματίαι . . . .

209. [246.]

⏑ –́ –́ ⏑ ⏑ – ⏖ ⏑ – ⏑ ⏒
⏑ ⏑ –́ –́ . . . . . .

Ἶσον μὲν θεὸν ἄνδρα τε φίλον (θεῷ)
ὑποτρέσσαι . . . . .

210. [247.]

. . . ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – –
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏓ . .

. . . Ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ,
πάρος μέλαιναν κραδίαν ἐστυφέλιξεν. . .

211. [248.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ . . . .

Οὔτις ἑκὼν κακὸν εὕρετο.

Fr. 208. Theodor. Metoch. 562: *Καὶ φέρονται κτλ. Πίνδαρός φησιν.* — V. 1. *τύχαν* Boeckh, v. *τύχην.* — V. 3. *ἐντὶ*, cod. Mon. *ἐν τῷ.*

Fr. 209. Schol. Hom. Il. ρ 98: *ὁ γὰρ φωτὶ μαχόμενος τῷ ὑπὸ θεῶν τιμωμένῳ ἢ ὑπὸ θεῶν ἀγαπωμένῳ, αὐτῷ τῷ θεῷ μάχεται τῷ ἐκεῖνον στέργοντι· ὁ Πίνδαρος ἶσον . . . φίλον ὑποτρέσσαι* (Bekker *ὑποτρέσαι*) *ἐκέλευσεν, ἐπίσης τὸν θεὸν καὶ τὸν φίλον θεῷ ἄνδρα θεοφιλῆ.* — V. 1. *θεῷ* recte addidit Heynius.

Fr. 210. Schol. Pind. Ol. II 40: *πρὸ τῶν ἀγαθῶν τοῖς ἀνθρώποις γὰρ τὰ κακά, ὅπερ καὶ ἐν ἑτέρῳ φησίν· ὁπότε κτλ.* — V. 1. *ὁπόταν* schol. Vindob., vulgo *ὁπότε.* — V. 2. *πάρος* Nauck, *πρόσθε* Boeckh, vulgo *πρὸς*, quod tuetur Mommsen. — *κραδίαν* schol. Vind., v. *καρδίαν.* Deinde poeta videtur scripsisse *ἐστυφέλιξε πένθει.*

Fr. 211. Aristid. II 547: *Ἀλλὰ Πλάτων καὶ Πίνδαρος πολλαχῇ μὲν καὶ ἄλλῃ σοφοί, καὶ δὴ καὶ κατὰ τόνδε τὸν λόγον οὐχ ἥκιστα, ὁ μὲν οὑτωσὶ λέγων· οὔτις κτλ.*

212. [250.]

[–́ ⏑] ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ –̣ – [–́] . . . . .

. . Νέων δὲ μέριμναι σὺν πόνοις είλισσόμεναι
δόξαν εὑρίσκοντι˙ λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρ' ἀερθέντα . . .

213. [252.]

. . . ⏖́ ⏑ – ⏑ – –
⏖́ ⏑ ⏖ –́ ⏑ – ⏖́ ⏑ – ⏑ –

. . . . Τιθεμένων ἀγώνων
πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.

214. [253.]

– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒ –́ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – –

Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται
οὐ φίλων ἐναντίον ἐλθεῖν.

215. [254.]

. . . ⏑ ⏑ – – –́ ⏑ – – –́ . . .

Ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν.

Fr. 212. Clem. Alex. Str. IV 586: *Καὶ ὁ Πίνδαρος˙ Νέων δὲ κτλ.* — V. 1. *είλισσόμεναι* et V. 2 *εὑρίσκοντι* Boeckh, v. *ἑλισσόμεναι* et *εὑρίσκουσι.* — V. 3. *ἀερθέντα* Boeckh, v. *λαμπευθέντα*, Schneider *λαμπρευθέντα* (debebat *λαμπρυνθέντα*), Buttmann *ἀναμπρευθέντα.*

Fr. 213. Plut. an seni sit ger. respubl. c. 1: *Ὅτι μέν, ὦ Εὔφανες, ἐπαινέτης ὢν Πινδάρου, πολλάκις ἔχεις διὰ στόματος ὡς εἰρημένον ευ καὶ πιθανῶς ὑπ' αὐτοῦ˙ τιθεμένων κτλ.* Eadem leguntur de sollert. animal. c. 23.

Fr. 214. Schol. Pind. Olymp. XIII 92: *καὶ ἀλλαχοῦ˙ Νικώμενοι κτλ.* — V. 1. affert idem ad Pyth. IX 160: *Νικ. δὲ ἀγρ. δέδενται*, integrum autem versum Plut. de cap. ex inim. util. c. 4.

Fr. 215. Liban. Epist. CXLIV: *Μηδ' οὕτως οἷον τὰ ἡμέτερα κατὰ Πίνδαρον ἐπὶ λ. δένδρῳ β., ἀλκά τι καὶ ἀδάμαντος μετέχειν. δενδρέῳ* Boeckh.

216. [255.]

‒ ‒́ ⏑ ‒́ ⏑ ⏑ ‒ ‒́ ⏑ ⏑ ‒ ‒́ ⏑ ⏓
⏑ ⏑ ‒́ ⏑ . . . .

Τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος
ἐσάωσεν.

217. [256.]

‒ ‒́ ⏑ ⏑ ‒ ⏑ ⏑ ‒ ‒ ‒́ ⏑ ‒ ‒
‒́ ⏑ . . . .

Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον
τεῖχος.

218. [257.]

⏑ ‒́ ⏑ ‒ ‒ ‒́ ⏑ . .

Πιστὸν δ' ἀπίστοις οὐδέν.

219. [258.]

. . . . ⏑ ‒ ⏑ ⏑ ‒ ⏒
‒́ ⏑ ‒ ‒ ‒́ ⏑ ⏑ ‒ ‒́ ⏑ ‒ ⏒ ‒́ ⏑ ‒ ⏒
⏒ ‒́ ⏑ ‒ ‒ ‒́ ⏑ ⏑ ‒ ⏑ ⏑ ‒ ‒ ‒́ ⏑ ‒ ‒ ‒́ . .

Ὑφ' ἅρμασιν ἵππος,
ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα, δελφίς
κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευ-
ρεῖν . .

Fr. 216. Schol. Pind. Nem. VII 87: *Ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν· Τόλμα κτλ.* Fort. Pindarus *τόλμα* ultima correpta adhibuit.

Fr. 217. Plut. vit. Marcell. c. 29: *ἀλλὰ γὰρ τὸ πεπρ. οὐ πῦρ, οὐ σιδαροῦν* (BM *σιδηροῦν*) *σχήσει τεῖχος, κατὰ Πίνδαρον.* Correxit Boeckh, Hartung *οὐδὲ σιδάρεον.*

Fr. 218. Clem. Alex. Paedag. III 307: *Π. δὲ ἀ. οὐδὲν κατὰ Πίνδαρον.*

Fr. 219. Plutarch. de virt. mor. c. 12: *ὑφ' ἅρμασι γὰρ ἵππος, ὥς φησι Πίνδαρος, ἐν δ' ἀρότρῳ βοῦς, Κάπρῳ δὲ κτλ.* Auctius affert sine poetae nom. de tranquill. anim. c. 14. — V. 1. *ὑφ'*, altero loco *ἐν*. — V. 3. *βουλεύοντα* priore loco B Ven. 3 et altero loco C, *βουλεύοντι* reliqui.

220. [259.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –
– –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏕

Ἁλίου δ' ἐρεθίζομαι δελφῖνος ὑπόκρισιν·
τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει
αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.

221. [260.]

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.

222. [261.]

⏑ –́ ⏑ ⏑ – –́ ⏑ – –
⏑ –́ ⏑ – – –́ ⏑ –

Ὄπισθε δὲ κεῖμαι θρασειᾶν
ἀλωπέκων ξανθὸς λέων.

223. [262.]

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
⏑ –́ –́ ⏑ . . . .

Ἔνθα καὶ ποῖμναι κτιλεύονται κάπρων
λεόντων τε. . . . . .

224. [265.]

. . . ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ – –

Ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.

Fr. 220. Plut. Sympos. Quaest. VII 5, 2: *Ὁ δὲ Πίνδαρός φησι κεκινῆσθαι πρὸς ᾠδὴν ἁλίου δελφ.* κτλ. Idem de Sollert. Anim. c. 36: *ᾧ (δελφῖνι) καὶ Πίνδαρος ἀπεικάζων ἑαυτὸν ἐρεθίζεσθαί φησιν, οὐ δελφῖνος ἀπόκρισιν, τὸν μ. ἀ. ἐκ πόντου π. αὐ. ἐκίνησεν ἐ. μ.* — unde *δ' ἐρεθίζομαι* revocavi. Hi versus fortasse ex libris *Ὑπορχημάτων* petiti.

Fr. 221. Schol. ad Hom. Od. κ 240: *φιλάνορα . . . (δελφῖνες) κατὰ τὸν Πίνδαρον.* Cf. Eust. 1657, 13.

Fr. 222. Aristid. Il. 509: *Πάλιν τοίνυν πρός τινα τῶν ἀκροατῶν, ἐπειδὴ νυστάζοντα ἑώρα καὶ οὐκ εἰδότα, ὅτῳ σύνεστιν, οὑτωσὶ πεποίηκε· ὄπισθεν δὲ κ. θαρσειὰν κτλ. ὄπισθε* Boeckh, *θρασειᾶν ΓΘ.*

Fr. 223. Schol. Pind. Pyth. II 31: *καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος τὸ τιθασσεύεσθαι καὶ κτιλεύεσθαι λέγει· ἔνθα ποιμένες κτλ.* sed cod. Gott. *ἔνθα αἱ ποίμναι*, hinc Boeckh correxit.

Fr. 224. Herodian. *περὶ σχημ.* 60, 13: *Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἔχοντα ἐπιφοράν, οἷον ἄνδρες ἐπὶ πόλεως* (sic A, vulgo *ὑπὲρ πόλεων* vid. fr. 56) *καὶ ἰαχεῖ βαρύφθεγκτ'*

225. [269.]

. . . – – ⏑́ ⏑ – –

Μὴ σιγᾷ βρεχέσθω

226. [280.]

⏑ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –

Ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ.

227.

– ⏑́ ⏑ ⏑ – ⏑ ⏑ –

Ἁ μὲν πόλις Αἰακιδᾶν.

228.

. . . . . . – ⏑́ ⏑ –

⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑́ ⏑ – – ⏑́ ⏑ . .

. . . . . . *Φὰν δ' ἔμμεναι*
Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.

229.

Πρόφασις βληχροῦ γίνεται νείκεος.

ἂν ἀγέλαι (sic A, *ἂν ἀγέλαν* B, vulgo *ἀναγγεῖλαι*) *λεόντων.* correxit Fiorillo.

Fr. 225. Schol. Pind. Ol. XI 58: *τὸ βρέχετο ἀντὶ τοῦ κατεσιωπᾶτό φησι· συνήθως γὰρ τὸ βρέχεσθαι ἐπὶ τοῦ σιωπᾶσθαι τίθησι· καὶ ἀλλαχοῦ κεῖται· Μησὶ γὰρ βρ.* corr. Boeckh.

Fr. 226. Athen. VI 248 C: *ἀλλὰ μὴν καὶ αὐτός, ἔφη, τὸ ποτίκολλον κτλ. ὡς ὁ Θηβαῖος εἴρηκε ποιητής, περὶ κολάκων ἐρῶ τι. ποτίκολλον* ABPV, *ποτικολλῶν* L et Basil. Idem I 24 B: *ποτίκολλον* (L *ποτικολλῶν*) . . . *ξύλῳ φησὶν ὁ Θηβαῖος μελοποιός.*

Fr. 227. Schol. Arist. Pac. 251: *ὅτι πόλιν εἶπε τὴν Σικελίαν νῆσον οὖσαν . . . καὶ Πίνδαρος δὲ περὶ τῆς Αἰγίνης· ἁ μ. πόλις* (Ven. *πολλάκις*) *Αἰακ.*

Fr. 228. Herodian. *περὶ σχημ.* 59, 29: *καὶ τὸ παρὰ Πινδάρῳ ἐπί τε τοῦ Πειρίθου καὶ τοῦ Θησέως λεγόμενον· φὰν δ' κτλ.* Pro *φὰν* A *φαμέν.* — *υἱοὶ* CD, *υἱὸς* B, *υἱὸν* A. — *καί, ἢ* CD. — *Ποσειδάωνος, Ποσειδάονος* A. Eadem Moschopul. 83 et Tryphon in Mus. Cantabrig. I 56. Ad hoc carmen fort. pertinet fr. 242.

Fr. 229. Cram. An. Ox. I 95, 5: *Πίνδαρος μὲν βληχρὸν τὸ ἰσχυρόν· πρόφασις* (cod. *πρύφασιν*) *βληχροῦ γ. ν.* Respicit Et. M. 200, 13: *βληχρὸν . . . Πίνδαρος δὲ ἐπὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.* Zonar. 193, 391. Suid. v. *βληχρόν*, Eust. Il. 589, 46.

* 230. [286.]

Μελιρρόθων δ' ἕπεται πλόκαμοι.

231. [123.]

Etym. M. 277, 39: *Διόνυσος· . . . οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσης τοῦ ὄρους ὠνομάσθαι, ἐπεὶ ἐν τούτῳ ἐγεννήθη, ὡς Πίνδαρος, καὶ ἀνετράφη.*

232. [124.]

Plutarch. de adul. et amic. c. 27: *εὐδίᾳ γὰρ ἐπάγει νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ὀφρὺν ἀνασπῶντα καὶ συνιστάντα τὸ πρόσωπον, ὥσπερ ἀντιταττόμενον τῷ Λυσίῳ θεῷ, λύοντι τὸ τῶν δυσφόρων σχοινίον μεριμνῶν κατὰ Πίνδαρον.* ubi Dübner ed. [*καὶ*] *μεριμνῶν.* Nauck coniecit *δυσφρόνων σκύνιον μεριμνᾶν.*

233. [153. 130. 131.]

Schol. Il. φ 194: *Ἡρακλῆς εἰς ᾅδου κατελθὼν ἐπὶ τὸν Κέρβερον συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα, καταλαβὼν δὲ μνηστευόμενον τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμόν, διεπάλαισεν αὐτῷ ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον. φασὶ δὲ αὐτὸν Ἀχελῷον παρὰ Ἀμαλθείας τῆς Ὠκεανοῦ κέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ καὶ τὸ ἴδιον ἀπολαβεῖν. . . . ἡ ἱστορία παρὰ Πινδάρῳ.* Ad eundem locum haud dubie pertinet Schol. Il. ϑ 368: *Πίνδαρος γοῦν ἑκατόν, Ἡσίοδος δὲ πεντήκοντα ἔχειν αὐτὸν (Κέρβερον) κεφαλάς φησιν.* — Conferas praeterea Tertullian. de cor. mil. c. 7: „Hercules nunc populum capite praefert, nunc oleastrum, nunc apium. Habes tragoediam Cerberi, habes Pindarum atque Callimachum, qui et Apollinem memorat interfecto Delphico dracone lauream induisse qua supplicem."

Fr. 230. Lesbonax de fig 184 ed. Valck: *ἔστι δὲ καὶ ἄλλο σχῆμα ἀπὸ Βοιωτίας, ὃ δὴ καὶ Πινδαρικὸν λέγεται, ὅτι πολλάκις αὐτῷ κέχρηται· γίνεται δὲ οὕτως· Λακεδαιμόνιοι πολεμεῖ Ἀθηναίοις, μελιρρόθων δ' ἕπεται πλόκαμοι ἀντὶ τοῦ ἕπονται* (cod. *ἕπεται*), *διήγεται σάρκες ἀντὶ τοῦ διήγονται. Ὅμηρος· καὶ δὴ δοῦρα σέσηπε νεῶν κτλ.* Et medium quidem exemplum certissime Pindari est, ubi Boeckh *μελιρρόθων δ' ἀνθέων ἕπ. πλ.* scripsit, Hartung *μελιρρόων*, videtur *παλιρρόθιον δ' ἕπεται πλόκαμοι* legendum: fortasse etiam tertium huc pertinet, quod affert etiam schol. Philostrati p. 193 ed. Kayser: *Πινδαρικὸν (σχῆμα) . . . οἷον· Λακεδ. πολ. Ἀθ. καὶ Ὅμηρος. διοίγετο δὲ σάρκες ἀντὶ τοῦ διοίγοντο.* Fort. *διοίχετο σάρκες.*

234. [135.]

Pausan. V 14, 6: *Μετὰ δὲ τοὺς κατειλεγμένους Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν* (*Ἠλεῖοι*) *ἐπὶ ἑνὸς βωμοῦ. τὸ δὲ αἴτιον τούτων παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ, γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λετρειναίοις.*

235. [139.]

Serv. Virg. Georg. I 14: „Huic opinioni (*Aristaeum Thebis relictis se primum Ceam, tum in Sardiniam contulisse*) Pindarus refragatur, qui eum ait de Cea insula in Arcadiam migrasse, ibique vitam coluisse. Nam apud Arcades pro Iove colitur, quod primus ostenderit, qualiter apes debeant reparari." Nisi forte haec ex commentariis ad Pyth. IX 64 petita sunt.

236. [145.]

Plut. Quaest. Nat. c. 36, ubi quaerit cur apes citius pungant, qui stuprum dudum fecerint, ex versione Longolii: „*Et Pindarus: Parvula favorum fabricatrix, quae Rhoecum pupugisti aculeo, domans illius perfidiam.*" sic Dübner (sed Boeckh: Tu molitrix favorum parva, perfidum quae puniens Rhoecum stimulo pupugisti eum). Huc pertinet Schol. Apoll. Rh. II 477 (Et. M. 75, 32) *Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην· ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη, ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅτι βούλοιτο· ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοι γε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν· ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. Καί ποτε πεσσεύοντος αὐτοῦ παρίστατο* (Keil *παρίπτατο*) *ἡ μέλισσα· πικρότερον δὲ ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι αὐτόν. Καὶ Πίνδαρός δέ φησι περὶ Νυμφῶν ποιούμενος τὸν λόγον· Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσα(ι).* vid. fr. 142, fortasse ex eodem carmine.

237. [140.]

Harpocrat. p. 41 ed. Bekk.: *Αὐτόχθονες· ... ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκὼς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ Γῆς φανῆναι.*

238. [144.]

Appollodor. Bibl. II 4, 2: *Αὗται δὲ αἱ νύμφαι* (*Γοργόνες*) *πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι πήραν.* quibus vulgo et in libris adduntur haec: *Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως· πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε. εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.*

239. [149.]

Schol. Pind. Nem. VII 103: *Εὐξενίδην δὲ εἶπεν ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε (Πίνδαρος) καλεῖν τοὺς Θεσσαλούς.*

240. [155.]

Strabo III 170: *Καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι νομίζοντες Στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας* (C *Γαδειρίτας*), *εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα.* et p. 171: *Καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας, εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις γὰρ ἔοικε τὰ στόματα.* Cf. Eust. ad Dionys. Per. v. 64.

241. [156.]

Strabo XV 711: *Περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις.*

242. [163.]

Pausan. I 41, 5: *Μεγαρέως δὲ Τίμαλκον παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον* (codd. *βουλόμενος*, C. Fr. Hermann *βουλομένοις*), *ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα.*

243. [176.]

Schol. Il. π 170: *καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι.* Eadem Cram. An. Par. III 286, 27 ubi *πεντήκοντα ἐρέγμούς.* Boeckh *πεντηκοντηρέτμους.*

244. [178.]

Aristid. II 339: *Καί τοι τίς οὐκ ἂν φήσειεν οὑτωσὶ πολλὴν εἶναι τὴν ἀλογίαν, ὄντα μὲν αὐτὸν (Παλαμήδην) κυριώτερον τοῦ Ὀδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος, εἶθ' ἡττηθῆναι ὑπὸ τοῦ χείρονος;*

245. [180.]

Soph. Aiac. Arg.: *περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν (Αἴας), ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ τοῦ Ἡρακλέος λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινεν.*

246. [181.]

Schol. ad Il. κ 435, ubi in AD haec leguntur: *Ῥῆσος γένει μὲν ἦν Θρᾴξ, υἱὸς δὲ Στρυμόνος τοῦ αὐτόθι ποταμοῦ καὶ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. διάφορος δὲ τῶν καθ' αὐτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ, καὶ μίαν ἡμέραν συμβαλὼν πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινεν· δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει· κατελθοῦσα δ' ἡ θεὸς Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν· ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε καὶ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος.* Haec contracta sunt in BLV: *ἱστορεῖ δὲ Πίνδαρος, ὅτι καὶ μίαν ἡμέραν πολεμήσας (Ῥῆσος) πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀπεδείξατο κακά, κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ.* Cf. Eust. 817, 28. Eudoc. 317.

247.

Pausan. IX 22, 7: *Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ εἰς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ εἰς ποίησιν δράματος ἐξήρκεσε.*

248. [189.]

Vita Homeri in Gal. Opusc. Myth. p. 283: *Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον.* ubi Wassenbergh censuit verba *Χῖόν τε καὶ* delenda esse, quemadmodum perhibet auctor vit. Hom. V ap. Westerm. Biogr. p. 28: *τὸ δὲ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην Χῖος.* at rursus alteram memoriam tuetur vita VI ib. p. 30 (Cram. An. Par. III 98, 13): *Ἀναξιμένης καὶ Δαμάστης καὶ Πίνδαρος Χῖον τὸν Ὅμηρον ἀποφαίνονται καὶ Θεόκριτος.* et similiter Tzetz. Exeg. Il. p. 7. Pindarus igitur utramque poetae summi patriam testatus erat; poterat in diversis carminibus diversam famam sequi, id quod Sengebusch Dissert. Homer. I 167 statuit, sed multo verisimilius est, quod iam Boeckh existimavit, Pindarum Homeri, quem Smyrnae natum esse statueret, in Chio insula domicilium testificatum esse. Ac fortasse huc referendum est fr. 187 *καὶ λιπαρᾷ Σμυρναίῳ ἄστει.* Haec enim non possunt ad Pindari tempus referri, quo Smyrnae urbs nulla fuit, neque cum heroum laudibus convenit urbis memoria, sed cadunt haec bene in Homeri aetatem.

249. [189.]

Aelian. Var. Hist. IX 15: *λέγεται δὲ κἀκεῖνο πρὸς ταύτοις, ὅτι ἄρα ἀπορῶν (Ὅμηρος) ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια, καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.*

250.

Philodem. de Musica col. XX, ubi improbabile dicit esse a Thaleta et Terpandro Lacedaemoniorum dissidia composita esse: *τοὺς ἐ(πὶ τῶν)*

ἀγώνων ἔ(τ)ερπεν ὁ Τέρ(παν)δρος· τοὺς δὲ Λάκωνας ἀ(π)ειθεῖν προα(ι)ρουμένους (τῷ) μαντείῳ κα(ὶ) [Hartung *καινῷ*] *(λ)όγῳ δ' ἴσω(ς) προαχθέν(τ)α(ς) ἀποτεθεῖσθαι τὴν στάσιν· ἀλλὰ μὴν καὶ τὸ μὲν κα(τὰ) Στησίχορ(ο)ν οὐκ ἀκρι(β)ῶ(ς) ἱστο(ρεῖ)τ(αι), τ(ὸ δὲ) Π(ι)νδ(ά)ρειον, εἰ τῆς διχ(ον)οίας ἔπεισεν, οὐκ οἴδαμεν.* Ceterum dubium, utrum Stesichorus de Thaleta, de Terpandro Pindarus dixerit, an utriusque testimonium ad Terpandrum sit referendum. Omnino autem quaeritur, an Pindari nomen recte sit restitutum, nam fort. scrib. *τὸ δὲ Τερπάνδρειον εἰ τῆς διχονοίας ἔπαυσεν, οὐκ οἴδαμεν*, ut philosophus dixerit, Stesichori testimonium de Terpandro Lacedaemonios reconciliante non satis dilucidum esse, Terpandri autem carmen, quo ad concordiam hortatus sit Lacedaemonios, utrum dissidia vere composuerit necne, incertum esse; igitur superstes etiam postera aetate fuisse Terpandri carmen foret censendum.

251. [191.]

Pausan. IX 30, 2: *Ὁ δὲ Σακάδα τοῦ Ἀργείου τὸν ἀνδριάντα πλάσας, οὐ συνιεὶς Πινδάρου τὸ ἐς αὐτὸν προοίμιον, ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώματος εἶναι τῶν αὐλῶν μείζονα τὸν αὐλητήν.* Adde Plut. de mus. c. 8: *γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· τούτου καὶ Πίνδαρος μνημονεύει.* Carmen, quod Pausanias *προοίμιον* vocat, Boeckh existimat *prosodium* fuisse, mihi videtur libro III Partheniorum insertum fuisse.

252. [192.]

Tzetz. Chil. I 8: *Ὡς γὰρ ὁ Πίνδαρός φησιν υἱὸς τοῦ Δαϊφάντου Ἐλθόντα πρὶν ὡς πρὸς αὐτὸν (Κροῖσον) Ἀλκμαίωνα τὸν πάνυ, Ὁπόσον δύναιτο λαβεῖν ἐκέλευε χρυσίον. Ὁ δὲ χιτῶνα περιδὺς εὐρύκολπον εἰσάγαν, Κοθόρνους τε τῶν τραγικῶν καὶ τῶν ευρυπεδίλων Τοὺς θησαυροὺς εἰσδεδυκὼς πάντα πληροῖ χρυσίου, Ὡς καὶ τὴν κόμην τὴν αὐτοῦ κατέχων τοῖς ὀδοῦσι· Τῷ τοῦ χρυσίου βάρει δὲ βαδίζειν οὐκ ἰσχύων Κροῖσον κινεῖ πρὸς γέλωτα βαδίσει καὶ τῇ θέᾳ, Ἐφ' οἷς αὐτὸν ἐκέλευσε δὶς τόσα λαβεῖν ἄλλα· Καὶ ταῦτα μὲν ὁ Πίνδαρος ὁ λυρικός που γράφει.*

253. [193.]

Harpocrat. v. *Ἄβαρις* p. 1: *Ἱππόστρατος μὲν γὰρ κατὰ τὴν τρίτην αὐτὸν Ὀλυμπιάδα λέγει παραγενέσθαι, ὁ δὲ Πίνδαρος κατὰ Κροῖσον τὸν Λυδῶν βασιλέα, ἄλλοι δὲ κατὰ τὴν κ' Ὀλυμπιάδα.*

254. [194.]

Origenes adv. Cels. III p. 126 Spencer: *Καὶ πρῶτόν γε τὰ περὶ τὸν Προκοννήσιον Ἀριστέαν, περὶ οὗ ταῦτά φησι (Κέλσος)· Εἶτ' Ἀριστέαν μὲν τὸν Προκοννήσιον ἀφανισθέντα τε οὕτω δαιμονίως ἐξ ἀνθρώπων καὶ αὖθις ἐναργῶς φανέντα καὶ πολλοῖς ὕστερον χρόνοις*

πολλαχοῦ τῆς οἰκουμένης ἐπιδημήσαντα καὶ θαυμαστὰ ἀναγγείλαντα καὶ τοῦ Ἀπόλλωνος ἐπισκήψαντος Μεταποντίνοις ἐν θεῶν μοίρᾳ μένειν τὸν Ἀριστέαν, τοῦτον οὐδεὶς ἔτι νομίζει θεόν. Ἔοικε δ' εἰληφέναι τὴν ἱστορίαν ἀπὸ Πινδάρου καὶ Ἡροδότου κτλ. Cf. Aeneas Gaz. in dial. Theophr. p. 77.

255. [195.]

Vita Pindari Vrat. T. II p. 9 ed. Boeckh (Westerm. p. 98): *ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου ἢ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων· καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε, καὶ Πίνδαρος μέμνηται τῆς Κάδμου βασιλείας*- Boeckh *τῆς Καμβύσου βασιλείας*, Westermann *Ξέρξου*, Schneider *Δαρείου*, cf. etiam Eust. Prooem. 26.

256. [200.]

Schol. Soph. Oed. Reg. 899: *Ἄβαι, τόπος Λυκίας, ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος· ἢ διὰ τῶν Ἰαμιδῶν* (ita Boeckh, cod. *ηΔῖ σαμ῀ι*) *ὅτι καὶ ἐκεῖ μαντεύονται, ὡς καὶ Πίνδαρος.* Speciosa coniectura, sed fortasse scholiastae adnotatio pertinet ad proxima Sophoclis verba *οὐδὲ τὰν Ὀλυμπίαν*, ut scripserit *ἢ Δία τὸν Ὀλύμπιον (σέβων)*, et respexerit Ol. VI 5. VIII, 2.

257. [202.]

Schol. Apoll. Rhod. 1, 411: *Αἰσωνὶς πόλις τῆς Μαγνησίας, ἀπὸ Αἴσωνος τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρός φησι καὶ Φερεκύδης.* sed fort. nihil aliud dicere voluit, quam Aesonem, Iasonis patrem, a Pindaro commemoratum esse (Pyth. IV 118).

258. [288.]

Quintil. X 1, 109: „Non enim *pluvias*, ut ait Pindarus, *aquas colligit*, sed vivo gurgite exundat (Cicero)." Pindarus *συνάγειν ὕδατα ὄμβρια* dixisse videtur.

259. [289.]

Plutarch. de Pyth. orac. c. 18: *Πίνδαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ' αὑτὸν ἀπορεῖν ὁμολογεῖ, καὶ θαυμάζει, ὅτι* * *. Ipse locus excidit.

260. [264.]

Plutarch. de sera Num. vind. c. 22 extr. de Neronis anima verba faciens: *προκεχειρισμένων δὲ καὶ ταύτῃ τῶν δημιουργῶν Πινδαρικῆς ἐχίδνης εἶδος, ἐν ᾧ κυηθεῖσα καὶ διαφαγοῦσα τὴν μητέρα βιώσεσθαι, φῶς ἔφασκεν ἐξαίφνης διαλάμψαι μέγα.* Locus obscurus, ac fortasse Pindari nomen omnino alienum.

261. [245.]

Theodor. Metoch. p. 282: *Τίνα δὲ τῶν ἐν μακραῖς συμβιούντων οὐσίαις οὐ κατατρέχουσι καὶ σπαράττουσι δή τινες Κῆρες ὀλβο-*

θρέμμονες, φησὶ Πίνδαρος, *μεριμναμάτων ἀλεγεινῶν* (cod. Mon. ἀλγεινῶν).

262. [251.]

Theodor. Metoch. 439: *Καὶ φέρειν ἀνάγκην ἔχοντες κατὰ Πίνδαρον ἀλλότρια μεριμνάματα καὶ κέαρ ἀλλοτρίας φύσεως* (*φύσιος*).

263.

Eust. Prooem. 21: *καὶ τὸ ἀμεῦσαι, ὅ ἐστι παρελθεῖν· καὶ κινῆσαι, οἷον· ἀμεύσεσθαι Νάξιον Τίσανδρον.* scr. *ἀμεύσασθαι*, cf. Hesych. *αμεύσασθαι, διελθεῖν* (fort. *παρελθεῖν*), *περαιώσασθαι*. Et iam apud Hesych. continuo sequitur glossa Pindarica *ἀμευσιεπής*. (vid. Fr. 280 A.) quemadmodum ap. Eustathium.

264. [249.]

Liban. Or. T. I 432 ed. Reiske: *πρὸς γὰρ τῷ τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὡς ἔφη Πίνδαρος, τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει.*

265 A.

Philo de caritate T. II 404 ed. Mang.: *Ἔπειτα δ' ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν οὔτε ἄνδρα οὔτε ἡμίθεον μᾶλλον ἢ δαίμονα κατὰ τὸν Πίνδαρον ὑπολαμβάνει ἑαυτόν, ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως ἀξιῶν βαίνειν.* Ambigas, utrum *μᾶλλον ἢ οὐ δαίμονα* an *μᾶλλον δὲ δαίμονα* corrigendum sit.

265 B.

Philo de providentia II p. 120 ed. Auger.: *Pro honore* itaque, ut dixit olim Pindarus, *silentium laetabundus suscipiam.*

266.

Io. Siceliota Rhet. Gr. T. VI p. 395: *πέντε τάξεις γλυκύτητος ἐννοιῶν, ἐν αἷς κατὰ Πίνδαρον οἷς χαίρει τις, τούτοις καὶ τιμώμενος ἥδεται.*

267. [110.]

Philostr. Vit. Apoll. Tyan. VI 26: *τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς (Νείλου) ἄγουσαν, ἄπορον μὲν ἐλθεῖν φασιν, ἄπορον δὲ ἐνθυμηθῆναι· πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου.* cf. Phot. Bibl. 241 p. 331. Deus, quem Pindarus Nili fontibus praeesse finxit, Ganymedes videtur esse, vid. Schol. Arat. Phaen. 282: *ὑδροχόος δὲ οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ*

ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους. τὸν Γανυμήδην γὰρ αὐτὸν ἔφασαν οἱ περὶ Πίνδαρον ἑκατοντόργυιον ἀνδριάντα (poeta ἑκατοντορόγυιον videtur dixisse) ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημμυρεῖν. Eundem Pindari locum respicit Philostr. Imagg. I 5: Νεῖλος Αἴγυπτον πλωτὴν ἐργασάμενος εὐκάρπῳ τῇ γῇ χρῆσθαι δίδωσιν ὑπὸ τῶν πεδίων ἐκποθείς, ἐν Αἰθιοπίᾳ δέ, ὅθεν ἄρχεται, ταμίας αὐτῷ δαίμων ἐφέστηκεν, ὑφ' οὗ πέμπεται ταῖς ὥραις σύμμετρος. γέγραπται δὲ οὐρανομήκης ἐπινοῆσαι καὶ τὸν πόδα ἔχει πρὸς ταῖς πηγαῖς, οἷον, ὦ Πόσειδον, προσνεύων· ἐς τοῦτον ὁ ποταμὸς βλέπει, καὶ αἰτεῖ τὰ βρέφη αὐτῷ πολλὰ εἶναι. Egit haud dubie de hoc loco Porphyrius in libro περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν. vid. Suidas v. Πορφύριος et Eudoc. 364. Hartung haec refert ad hymnum in Ammonem.

268. [111.]

Phot. 74, 1 et Suidas v. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος. Πολιτείας β' οὕτω γραπτέον ... παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ. ὅ τινες ἀγνοήσαντες γράφουσιν ὑπὸ Διός. Καί φασι δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμεντος. ἡ ἱστορία καὶ παρ' Ἐπιχάρμῳ ἐν Κωμασταῖς ἢ Ἡφαίστῳ.

269. [141.]

Schol. Il. ξ 319: αὐτὴ δὲ (Δανάη), ὥς φησιν Πίνδαρος καὶ ἄλλοι τινές, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη.

270.

Fulgent. Mythol. I 12: „In huius (Apollinis) etiam tutelam corvum ponunt, ... sive quod in horoscopicis libris, secundum Anaximandrum, sive etiam secundum Pindarum, solus inter omnes aves sexaginta quatuor significationes habet vocum." quae fides his habenda sit, satis incertum. Fortasse in commentariis ad Pyth. III 28 tale quid olim legebatur.

271. [117.]

Schol. Aesch. Eum. 11: χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν (Aeschylus) αὐτὸν ἐκεῖσε Ἀπόλλωνα, κἀκεῖθεν τὴν περιπομπὴν αὐτῷ εἶναι, ὁ δὲ Πίνδαρος ἐκ Τανάγρας τῆς Βοιωτίας. Müller coni. Τεγύρας Orchom. p. 147.

272. [120.]

Iulianus Epist. XIX: Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας, οἱονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι. Cave haec referas ad Isthm. II 8.

273 [121.]

Liban. Epist. XXXIV: *Ὁ μὲν Πίνδαρός που φησὶ μήλων τε χρυσῶν εἶναι φύλαξ, τὰ δὲ εἶναι Μουσῶν, καὶ τούτων ἄλλοτε ἄλλοις νέμειν.*

274. [234.]

Stob. Flor. CXI 12: *Πινδάρου· Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια.* Cf. Eust. Opusc. p. 124. Boiss. Anecd. Nova 140. Plut. Erot. 16: *καὶ οὐχὶ ὥς τις εἶπεν, αἱ ποιητικαὶ φαντασίαι διὰ τὴν ἐνάργειαν ἐγρηγορότων ἐνύπνιά εἰσιν.* Fort. *apophthegma* potius fuit, tribuiturque ab aliis Aristoteli (Diog. L. V 18), ab aliis Platoni (Aelian. V. H. XIII 29).

275. [208.]

Pausan. V 22, 6: *Λέγεται δὲ ἐς μὲν Κόρκυραν, ως μιχθείη Ποσειδῶν αὐτῇ, τοιαῦτα δὴ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία.* Sed rectius videtur Unger Thebana Parad. p. 66 ad Isthm. VII 18 referre. — Quod dicit Tzetz. Exeg. Il. p. 132: *λαβὼν δὲ ὁ προρρηθεὶς Ἀσωπὸς πρὸς γάμον Μετώπην τὴν Λάδωνος θυγατέρα, καθά φησι Πίνδαρος, ἐκ ταύτης γεννᾷ Θήβην, Κέρκυραν, Αἴγιναν τὴν μητέρα τοῦ Αἰακοῦ, Σαλαμῖνα, Ἅρπινναν, Νέμεαν, Κλεώνην* ad Ol. VI 84 pertinet, vid. ibi schol.

276.

Probus ad Virg. Ecl. VII 61: „Pindarus initio Alciden nominatum, postea Herculem dicit ab Hera, quam Iunonem dicimus, *quod eius imperiis opinionem famamque virtutis sit consecutus.*" Idem veriloquium Matris secutus est, vid. Diod. Sic. I 24: *Ἀλκαῖον ἐκ γενετῆς καλούμενον ὕστερον Ἡρακλέα μετονομασθῆναι, οὐχ ὅτι δι' Ἥραν ἔσχε κλέος, ὥς φησιν ὁ Μάτρις, ἀλλ' ὅτι τὴν αὐτὴν ἐζηλωκὼς προαίρεσιν Ἡρακλεῖ τῷ παλαιῷ τὴν ἐκείνου δόξαν ἅμα καὶ προσηγορίαν ἐκληρονόμησε.* idem tamen IV 10: *Διόπερ Ἀργεῖοι πυθόμενοι τὸ γεγονὸς Ἡρακλέα προσηγόρευσαν, ὅτι δι' Ἥραν ἔσχε κλέος, Ἀλκαῖον πρότερον καλούμενον.* cf. oraculum ap. Tzetz. Lycoph. 662: *Ἡρακλέα δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει, ἐξ Ἥρας γὰρ ἐν ἀνθρώποις κλέος ἄφθιτον ἕξεις.* quod quidem oraculum alii (vid. Schol. Il. ξ 323) sic proferunt: *ἦρα γὰρ ἀνθρώποισι φέρων κ. ἀ. ἕξεις.* Alii porro sic vocatum perhibebant, quod *ἀέριον κλέος ἔσχεν*, vid. Cram. An. Ox. II 445. Cf. praeterea Et. M. 435, 3 et Suid. v. *Ἡρακλῆς.*

277. [226.]

Plato Theaetet. 173 D: *Ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, ἡ δὲ διάνοια ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ φέρεται* (*πέτεται* b, et 𝔄BC in marg.) *κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε* (Ξ corr. *ἐπί-*

περθεν) καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τι τῶν ἐγγὺς οὐδὲν αὑτὴν συγκαθιεῖσα. unde descripsit Iamblich. Protrept. 212. Conferas etiam Clem. Alex. Str. V 707 πέταται κατὰ Πίνδαρον τᾶς τε γᾶς ὑπένερθεν οὐρανοῦ τε ὕπερ ἀστρονομῶν καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνάμενος (H ἐρευνώμενος). et Theodoret. Gr. Aff. Cur. XII 169, 11: πανταχῇ πέταται (D ποτᾶται) κατὰ Πίνδαρον, τά τε γῆς ὑπένερθεν (C ὕπερθεν) καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανούς τε ὑπεραστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν διερευνωμένη. Porro Galen. Protr. c. 1: τὰ τῆς γῆς νέρθεν καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ κατὰ Πίνδαρον ἐπισκοπεῖ. Respicit etiam M. Antonin. II 13: οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου καὶ τὰ νέρθεν γᾶς, φησίν, ἐρευνῶντος, cf. Porphyr. de abstin. I p. 62. Macar. ap. Walz Arsen. p. 444 τὰ γῆς ἔνερθεν καὶ τὰ ἐπὶ πέδον. λείπει οἶδεν· ἐπὶ τῶν πολυπραγμόνων. Plato fortasse plura quam quae notavi ex Pindaro sumsit, sed res satis incerta, neque nos iuvant reliquorum scriptorum loci, qui fere a Platone suspensi sunt. Certe non licet Pindari versus instaurare, quamquam ausus est Hartung:

ὃς πέταται τά τε γᾶς ἔνερθεν καὶ ὕπερθεν ἐρευνῶν
οὐρανοῦ θ' ὕπατ' ἄστρα.

278 A. B.

Eust. Prooem. 16: Ἀγῶνα δὲ μνησιστέφανον, ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύτατον μνηστῆρα στεφάνων εἶπεν. Schneidewin, μνασιστέφανον et μναστῆρα.

279. [138.]

Et. M. 60, 37: Ἀλέρα καὶ Ἐλάρα (Tityi mater) ... Ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον· Ἀλέρας ὄζον. sic cum Hemsterhusio scripsi. v. ὠσύν (Va υἱόν).

280 A.

Eustath. Prooem. 21: ὅθεν καὶ ἀμευσιεπῆ φροντίδα φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν, Hesych. ἀμευσιεπής· διαλλάσσουσα καὶ ἀμειβομένη τοῖς λόγοις. Eadem Et. M. 82, 16.

280 B. [203.]

Steph. Byz. Ἀπέσας· ... ὄρος τῆς Νεμέας, ὡς Πίνδαρος καὶ Καλλίμαχος ἐν τρίτῃ.

281. [268.]

Suidas v. Ἀράχνη· θηλυκῶς τὸ ὕφασμα, ἀράχνης ἀρσενικῶς τὸ ζωΰφιον. ... εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ, καὶ παρὰ Καλλίᾳ. Eadem Bekk. An. I 442, 1, nisi quod Καλλίοις ibi legitur: videtur scribendum καὶ παρὰ Καλλιμάχῳ· ἔργον ἀράχνα ἀπὸ τῆς ἀράχνης ὀρθῆς.

282.

Eust. Prooem. 21: ἁρμασιδούπους τοὺς ἱππικωτάτους.

283. [270.]

Eust. ad Od. 1406, 14: τὸ διαβάλλειν δὲ οὐ μόνον συκοφαντικὸν ἔχει νοῦν, ὅθεν καὶ ἡ διαβολή, καὶ ὁ παρὰ Πινδάρῳ διάβολος ἄνθρωπος. Idem ad Il. 128, 38: ἡγεμονεὺς καὶ ἡνιοχεὺς καὶ ὁ ἐκ τοῦ Ἀλκαῖος Ἀλκεύς, ὅθεν καὶ Ἀλκείδης Ἡρακλῆς, καὶ ὁ ἐκ τοῦ παρὰ Πινδάρῳ διάβολος κοινῶς διαβολεύς. Mirum profecto vulgare hoc vocabulum, quamquam apud antiquiores non fuit frequentatum, Pindari auctoritate firmari: magis etiam mirum, quod διαβολεὺς vulgo usitata, διάβολος rarior forma dicitur: videtur Eustathius antiquioris grammatici sententiam falso interpretatus esse, qui dixerat a Pindaro formam διαβολεὺς loco vulgaris διάβολος esse adhibitam, quod fortasse olim legebatur Pyth. II 76.

284.

Eust. Prooem. 21: ἐλασίχθονα Ποσειδῶνα τὸν ἐννοσίγαιον. nisi forte Pyth. VI 50 scribendum τὶν δ' Ἐλάσιχθον pro Ἐλέλιχθον.

285.

Schol. Arist. Av. 930: ἐμὶν τεῒν· Χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ ἐν τοῖς τοιούτοις Δωρισμὸν καὶ μάλιστα τὸν Πίνδαρον, συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν. Pindarum quod dicit, finxisse videtur.

286.

Eust. Prooem. 11: ἐνίκησαν οἳ (Schneidewin ἐνίκασαν) ἤγουν οἵτινες ἐνίκησαν.

287. [271.]

Et. Gud. 193, 9: Ἐξεστηκὼς διχῶς λέγεται παρὰ Θουκυδίδῃ καὶ Πινδάρῳ, ὅτε μὲν τὸ μαίνεσθαι καὶ ἔκφρονα εἶναι, ὅτε δὲ τὸ ὑπαναχωρεῖν καὶ ὑπεξέρχεσθαι ἢ ἀφίστασθαι.

288.

Eust. Prooem. 21: καὶ τὸ ἔπει δὲ ἀντὶ τοῦ ἔπειτα ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ. Error grammaticorum subesse videtur.

289 [272.]

Et. M. 354, 50: Ἐπέτειον· ἐπὶ τοῦ νῦν ἔτους· ἔπετος (V ἐπέτος καὶ ἐπίτειος) γὰρ δεῖ λέγεσθαι τὸν ἐνεστῶτα καιρόν, οὐχὶ διὰ τοῦ φ, ἀλλὰ διὰ τοῦ π, ὥς φησι Πίνδαρος καὶ Δημοσθένης. Ῥητορική.

Scribendum videtur ἐπ' ἔτος γὰρ καὶ ἐπέτειον κτλ. ut hoc exemplum ex Pindaro, illud ex Demosthene attulerit grammaticus, ut a prava, quam existimabat, aspiratione deterreret. Similia leguntur ap. Bachmann. An. I 227, 32 (ubi ἔτος γὰρ δεῖ λέγειν), Cram. An. Par. IV 169, 9, Zonar. 809, Suid. v. ἐπέτειον, quibus adde Cyrillum in Cod. Vind. n. 319: ἐπέτειον ἐπὶ τοῦ νῦν ἕως ἔτους· ἐπέτος γὰρ δεῖ λέγειν τ. ἑ. κ. οὐχὶ ἐφέτος, ὡς φ. Πίνδαρος καὶ Δημοσθένης.

290.

Schol. Il. ω 277: Καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· ἱππείοις ἔντεσι μεταΐσσων. Ex perdito aliquo carmine haec verba petita, neque ex Ol. XIII 29 τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα κτλ. detorta.

291. 292. [263.]

Eust. Prooem. 16: Καὶ Δία εὐρύζυγον (καλεῖ) ἄλλως παρὰ τὸ ὑψίζυγον· τὸν δ' αὐτὸν καὶ . . . ἐρισφάραγον. de quo cf. idem Eust. ad Odyss. 1636, 8: ὅθεν καὶ Πίνδαρός που ἐπὶ πολυήχου τὸ ἐρισφάραγον τίθησιν. *Pindari* fortasse versus est, quem sine poetae n. affert Et. M. 166, 53, id quod etiam Gaisford coniecit:

ἐρισφάραγος πόσις Ἥρας ἔσσεται,

sic enim scribendum, vulgo Ἥρης ἔσται.

293.

Cram. An. Ox. IV p. 329, 17: τὸ Καρβὰν παρασύνθετον, Καριβόος, Καριβόαν καὶ Καρβάν, μόνον τὸ Εὖαν (Εὐὰν?) θηλυκὸν παρὰ Πινδάρῳ. fort. huc pertinet Hesych.: Εὐάν· ὁ κισσὸς ὑπὸ Ἰνδῶν. Sed L. Dindorf coni. Εὐνάν, coll. Bekk. An. III 1376: Εἰς ἂν θηλυκὸν οὐκ ἔχομεν· τὸ εὐνάν, εὐνᾶνος ὃ παρατίθενταί τινες ὡς θηλυκόν, νομίζοντες τὴν γυναῖκα σημαίνειν, δείκνυσι Λούπερκος ἐν τῷ περὶ γενῶν, ὅτι ἀρσενικοῦ γένους ἐστίν.

294. [273.]

Etym. M. 404, 21: Ἐχέτης ὁ πλούσιος, ὡς Πίνδαρος.

295. [274.]

Eust. Il. ξ 975, 48: ἔστι δὲ καὶ γυμναστικὴ λέξις τὸ ἀλείφειν, ἐπεὶ καὶ οἱ γυμνικοὶ ἀγῶνες εἶχον ἔλαιον, ἐξ οὗτινος ἠλαιοῦντο, εἰπεῖν κατὰ Πίνδαρον.

296. [143.]

Schol. Il. φ 22: καὶ Πίνδαρος ἰχθὺν παιδοφάγον ἐπὶ τοῦ κήτους. Cf. Eust. 1221, 35. Choeroboscus I 423 (Bekk. An. III 1232) l. παιδοφύγα. Ceterum Ioannes Alex. τον. παραγγ. 12, 26 ἰχθὺν apud Pindarum acui dicit.

297. [113.]

Lucian. Imagg. c. 8: *Συνεπιλήψεται δὲ τοῦ ἔργου αὐτῷ καὶ ὁ Θηβαῖος ποιητής, ὥστ᾽ ἰοβλέφαρον ἐξεργάσασθαι (τὴν Ἀφροδίτην).* sic scribendum, vulgo *ὡς τὸ βλέφαρον*, sed *ἰοβλέφαρον* latere iam Solanus vidit, cf. Lucian. Imagg. c. 26: *ἕτερος δέ τις ἰοβλέφαρον τὴν Ἀφροδίτην εἶπε.*

298. [136.]

Et. M. 513, 20: *Κιδαλία . . . ἐκ Πινδάρου· χεῖρα Κιδαλίας* (M *χεῖρας ἀκιδ.*) *εἰς τὴν χεῖρα αἰτιατικὴν μὴ ποιήσῃς ἔκθλιψιν· Κιδαλία γάρ ἐστιν.*

299. [275.]

Schol. Pind. Nem. II 17: *ὀρειᾶν Πελειάδων . . . ἔνιοι διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ υ, ὡς καὶ τὸ Κλεὸς ἕκατι, ἀντὶ τοῦ Κλειοῦς* (haec ultima addit R). Corrupte Et. M. 517, 25 et Et. Gud. 526, 3: *κλέος. Πίνδαρος οὐκ οἶδα ὅπου, φησὶ κλεός· κελεὸς καὶ συγκοπῇ κλεός. ὀξῦναί σε δεῖ.* Lobeck Pathol. I 303 putat grammaticum errore deceptum respexisse Nem. III 83 *Κλεοῦς ἐθελοίσας*, ubi unus liber *Κλεὸς* exhibet.

300.

Eust. Prooem. 21: *κρατησιβίαν χερσὶ τὸν ῥωμαλέον.*

301. [212.]

Steph. Byz. v. *Κρήστων, πόλις Θράκης ... ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ.* Meineke coni. *Πεισάνδρῳ.*

302.

Eust. Prooem. 19: *Λιτὴν δὲ Ἠῶ τὴν εὐκταίαν, καὶ ὡς ἄν τις Ὁμηρικῶς εἴποι πολύλλιστον. εἴτε καὶ καθ᾽ ἕτερόν τινα τρίλιστον.*

303. [276.]

Schol. Hom. Il. ο 137: *μάρη γὰρ ἡ χεὶρ κατὰ Πίνδαρον.* cf. Schol. Lips. Il. γ 307.

304. [278.]

Apollon. Lexic. Hom. 117, 25: *ξεινοδόκος· ... ὁ δὲ Πίνδαρος· ξεινοδόκησέν τε δαίμων· ἀντὶ τοῦ ἐμαρτύρησε.* Cf. Etym. M. 610, 47 et Et. Gud. 414, 36, ubi Simonidi per errorem tribuitur *ξεινοδόκησε Τελαμών*, Pindaro autem versus Simonideus. Zonar. 1415 (Mingarelli Codd. Nan. 496) similiter ex Simonide *ξ. τε λαβών* affert.

305. [279.]

Schol. Hom. Il. χ 51: ubi A *τὸ ὀνομάκλυτος ὡς τοξόκλυτος.*

deinde V: *ἔστι γοῦν παρὰ Πινδάρῳ τὸ θηλυκὸν αὐτοῦ ἐν παρωνύμῳ χαρακτῆρι· ὀ ν ο μ α κ λ ύ τ α γάρ ἐστιν.* at B: *κατὰ σύνθεσιν οὖν ἐστίν, ὡς τὸ τ ο ξ ό κ λ υ τ ο ς παρὰ Πινδάρῳ καὶ περίκλυτος.*

306. [267.]

Schol. Eurip. Phoen. 683: *ἐκτίσαντο ἀντὶ τοῦ ᾤκησαν, ὡς τὸ Ὀ ρ ε ι κ τ ί τ ο υ* (cod. Aug. *ὀρεικτήτου*, edd. Iunt. Bas. *ὀρυκτῇ τοῦ*) *σ υ ὸ ς παρὰ Πινδάρῳ ἀντὶ τοῦ ὀρειοίκου.* et ad v. 687 ed. Matthiae. *φησὶ δὲ καὶ Πίνδαρος ὀρείκτιτον σῦν τὸν ἐν ὄρει οἰκοῦντα.* Cf. etiam Schol. Pind. Pyth. II 31: *καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος· Ὀρικτίτου συός.* et Schol. Eurip. Orest. 1616: *καὶ τὸ συὸς ὀρικτίτου παρὰ Πινδάρῳ.*

307. 308. 309.

Eust. Prooem. 21: *καὶ τὸ π έ δ ο ι κ ο ς, ὅ ἐστι μέτοικος, καὶ τὸ π έ δ α σ τ ό μ α φ λ έ γ ε ι ἀντὶ τοῦ μετὰ στόμα, καὶ τὸ π ε δ α σ χ ε ῖ ν ἤτοι μετασχεῖν.*

310.

Cramer An. Ox. IV 309, 20: *Ἐπὶ τῆς περὶ Πίνδαρος πέροδον* (Nem. XI 40) *ἔφη ἀντὶ τοῦ περίοδον καὶ π ε ρ ι έ ν α ι τετρασυλλάβως.* quamquam hoc fortasse ex Attico sermone petitum est exemplum: velut Thucyd. I 30, 3 *περιόντι τῷ θέρει* scripsit, ubi minime opus est mutatione *περιιόντι*, quam huius consuetudinis immemores critici commendant.

311. [287.]

Serv. ad Virg. Aen. V 830: *Fecere pedem*, i. e. podium, hoc est funem, quo tenditur velum, quod (l. *quem*) Graeci *π ό δ α* vocant, ut est apud Pindarum et Aristophanem.

312. 313. [182. 183.]

Eust. Il. λ 877, 55: *εἶτά φησιν* (Aristophanes Byz.) *ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων π ρ ο β ά τ ω ν τ ρ ά π ε ζ α ν* (cf. praeterea ad Od. 1649, 5)· *οὕτω δέ που, φησί, καὶ ἐ π ὶ τ ο ῦ Π η γ ά σ ο υ ποιεῖ.* quod videtur factum in carmine aliquo, ubi Bellerophontem celebravit, cf. Horat. Carm. IV 2, 14: *„Per quos cecidere iusta Morte Centauri, cecidit tremendae flamma Chimaerae.*

314. [281.]

Choeroboscus II 555 (Bekk. An. III 1287): *Σημειούμεθα ... καὶ τ ὸ ῥ ε ρ ί φ θ α ι ἔ π ο ς παρὰ τῷ σοφῷ Πινδάρῳ.* Cf. Cram. An. Ox. IV 185, 16 et 415, 5. An. Par. IV 226, 16.

315. [282.]

Schol. Hom. ζ 24 ubi BL: σκότιον τὸν ἐξ ἀδαδουχήτων γάμων νόθον λέγει, τὸ δὲ κύριον ὄνομα *Σκοτίος*. ABL: σκότιον ὡς λόγιον, τὸ δὲ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν καὶ παροξύνεται παρὰ Πινδάρῳ. cf. Cram. An. Par. III 284, 4.

316. [283.]

Et. M. 172, 10: καὶ παρὰ τούτων Δωρικῶς τουτάκι, ὡς παρὰ Πινδάρῳ· *Τουτάκι πεξαμένης*. Boeckh τουτάκι τε ξαμενής.

317. [284.]

Et. M. 249, 50 et Zonar. 466: δαυλός, ὁ δασύς, παρὰ τὸ δάσος γίνεται ῥῆμα δασῶ, ὡς τεῖχος τειχῶ, ἀφ' οὗ Πίνδαρος *τετείχηται*. Gaisford scripsit τετείχισται, quod est Isthm. V 44. Pyth. VI 9, contra mentem grammatici, sed potuit ille errare.

318.

Eustath. Prooem. 21: *τόσσαι καλῶν*· ἤγουν ἐπιτυχεῖν.

319. [219.]

Eustath. ad Dionys. Per. 467 de Sicilia Trinacria dicta, διὸ καὶ Λυκόφρων τρίδειρον νῆσον λέγει αὐτὴν καὶ ὁ Πίνδαρος *τριγλώχινα*, nisi forte erravit, nam Choeroboscus Bekk. An. III 1424 Callimachi versum adhibet: Τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ.

320.

Schol. Pind. Pyth. II inscript.: καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ τὰς μὲν Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας *χρυσαρμάτους*.

321. [285.]

Et. M. 304, 3: Κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα, ὥς φησι Πίνδαρος· *Ὑψικέρατα πέτραν*, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια (ἔχουσαν). Cf. Et. Gud. 315, 12, Zonar. 1185, Eustath. Prooem. 27. Fort. imitatur Arist. Nub. 596: Δήλιε Κυνθίαν ἔχων ὑψικέρατα πέτραν.

322. [220.]

Galen. de puls. diff. VIII 681 ed. Lips. (T. III p. 38 ed. Bas.): Καίτοι γε οὐδ' ἀπὸ τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς, ἀλλὰ κἂν Πίνδαρος ἤ τις ᾖ (vulgo εἴη τις ἢ) *Ὠκεανοῦ τὰ πέταλα* τὰς κρήνας λέγων, οὐκ ἐπαινεῖται.

323.

Tzetz. Allegor. Il. v. 407: (Matranga Anecd. 14) Εἴπερ μὴ ὑπεδέξατο τούτους Ἀντήνωρ πρῶτον, ὅστις ὑστέρως ἔλαβε καὶ δωρεὰς πρεπούσας· τῆς Τροίας πορθουμένης γὰρ ἔσωσαν πάντα τούτου, καὶ

πλεῖστα δῶρα καὶ τερπνὰ δεδώκασιν ἐκείνῳ. ad ultimum hunc versum ascriptum scholion ap. Cram. An. Ox. III 378, 1: *τούτου μέμνηται Πίνδαρος.* sed fort. haec petita sunt ex schol. Pyth. V 108. Similis certe ratio Tzetz. Chil. IV 390: *Ῥόδιόν ἐστιν ὄρος, τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας, αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης· Πίνδαρος καὶ Καλλίμαχος γράφει τὴν ἱστορίαν.* haec enim manifesto petita ex Schol. Ol. VII 159. — Non magis alia recepi quae leguntur apud Eustathium, velut quod est in Prooem. 21: *οὕτω δὲ καὶ τὸ πρὰν Δωρικὸν ἀποροῖτο ἄν, διὰ τί μὴ περιήγαγε τὸ πρὶν εἰς τὴν διὰ τοῦ ῆ γραφήν*, ubi errore aliquo deceptus esse videtur Eustathius. Quod idem dicit Eust. Od. 1404, 22: *καὶ αὐτοδιδάκτους εἶναι φησὶ (τοὺς ἀοιδοὺς) καὶ ὡς εἰπεῖν θυμοσόφους, καὶ κατὰ Πίνδαρον αὐτόθεν φυᾷ εἰδότας.* referendum ad Ol. II 86 — Quae leguntur ap. Eust. Il. 381, 38: *καὶ ὅτι Πίνδαρος ζηλώσας νίκῃ μίγνυσθαι τὸ νικᾶν καὶ ἔργῳ μίγνυσθαι τὸ ἐργάζεσθαι καὶ ἕτερα τοιαῦτα.* cf. ad Od. 1428, 34: *μίγνυνται ἀθληταί, Πινδαρικῶς εἰπεῖν, νίκαις.* ea exempla ficta sunt haud dubie. — Nec magis ambigere licet de alio loco Eust. Il. 346, 5: *εἰ δὲ καὶ Τυφάων ὁ αὐτὸς ὀνομάζεται, καθὰ καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται, τετραχῶς ἄρα σχηματίζεται τὸ δαιμόνιον. Τυφωεὺς γὰρ καὶ Τυφάων, Τυφάονος, ὅθεν τὸ Τυφαονίων ἀλαλητῶν* (Oppiani est, vid. Eust. Od. 1659, 51), *καὶ κατὰ κρᾶσιν Τυφῶν, καὶ ὡς ἐν δικαταληξίᾳ Τυφῶς.* Sunt haec ad commentarios in Pindarum referenda. — Quod dicit Tzetzes Epist. p. 23 ed. Pressel: *εὐπαλάμων τε ὕμνων τελοῦντι κατὰ Πίνδαρον τέκτονι Cratini* est, vid. Aristoph. Eq. 530. De aliis vid. Boeckh T. II 1 p. XXIX seq. et T. II 2 p. 685 seq.

Pindari fortasse fr. delitescit ap. Schol. Il. β 373: *ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορά, οἳ σὺν τῷ μύειν τοῦ φωτὸς στερίσκονται.* ubi cod. V addit: *ὅθεν ἔτι ὀφθαλμὸν ἔσεσθαι τὴν Ἑλλάδα ἔφα, καί· Σικελίας τ' ἔσαν ὀφθαλμοί* (vid. Pind. Ol. II 9). conieci olim: *ὀφθαλμὸν ἐσσεσθαί νιν Ἑλλάδος ἔφα.* De aliis versibus, qui probabiliter ad Pindarum referri possunt, vide *Fragmenta Adespota.*

E P I G R A M M A.

Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

Epigramma hoc legitur apud Proclum ad Hesiod. p. 7 ed. Gaisf. *Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ ἐπέγραψαν τάδε· Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν, ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης. Ἐπέγραψε δὲ καὶ Πίνδαρος· χαῖρε κτλ.* eademque totidem verbis Ioh. Tzetz. vit. Hes. p. 17. Omnino vita Hesiodi, quae Proclo tribuitnr, huic abiudicanda: est enim prorsus indigna homine hoc erudito et modesto: nugae et convicia, quibus inquinata est, satis superque testificantur a Tzetza esse conscriptam, (vidit hoc etiam Rose Aristot. Pseudepigr. 508 seqq.) atque congruit mirum in modum cum altera vita, quae ipsius Tzetzae nomen prae se fert, si a paucis quibusdam discesseris, velut quae leguntur de sacerdote canpone: haec aut sobrii iudicii librarius praetermisit, aut Tzetzes cum opusculum suum rectractaret addidit. Proclus de vita et carminibus Hesiodi nibil commentatus erat, id ipsnm Tzetzes p. 10 ei opprobrio vertit, itaque ut hoc suppleret, haec praemisit, alinude ut solet furatus, quae alicuius momenti sunt. Repetitum autem est hoc epigramma ex Aristoteliis libris de Orchomeniorum republica, quod cognovimus ex Append. Proverb. IV 92: *Τὸ Ἡσιόδειον γῆρας· Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον καὶ ἐπιγράμματος τοῦδε τυχεῖν· Χαῖρε κτλ. παρόσον τό τε γῆρας ἀπέβη καὶ δὶς ἐτάφη·* Pindari ibi nomen non commemoratur, sed tuetur Suidas: *Τὸ Ἡσιόδειον γῆρας· ἐπὶ τῶν ὑπεργηρων· φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδάρου τοιοῦτον· Χαῖρε κτλ.* Aristotelis hoc libro etiam Tzetzes utitur p. 15, de Stesichori et Hesiodi necessitate verba faciens, quem librum ea levitate atque audacia, qua a nostri demum saeculi hominibus superatur, philosopho abiudicat, haud dubie quod similitudinem quandam intercedere inter hos titulos et Pepli epigrammata animadvertit. Tzetzem ipsius Aristotelis librum nunquam vidisse certum est: crederes libro de certamine Homeri et Hesiodi magis integro usum esse, at hunc librum si vidisset, multo plura inde esset mutuatus. — Iam si Tzetzae fides est, Pindari hoc epigramma fuit eidem monumento inscriptum, in quo quatuor illi versus, quos sec. Pausan. IX 38, 10 Orchomenii Chersiae tribuebant. — V. 1. *τάφου*, *τάφον* App. Paroem., *τάφων* tres codd. Suidae (ABE).



